



HERODOTUS

GRÆCE & LATINE.

ACCEDUNT

ANNOTATIONES SELECTÆ

NECNON

INDEX LATINUS,

EX EDITIONIBUS

WESSELINGII ET REIZII.

[edidit George Dunbar]

TOM. VI.

EDINBURGI:
E Prelo Academico,
IMPENSIS GULIELMI LAING.

MDCCCVI.



ΠΟΛΥΜΝΙΑ.

ΗΡΟΔΟΤΟΥ
ΑΛΙΚΑΡΝΗΣΣΗΟΣ
ΙΣΤΟΡΙΩΝ
ἙΒΔΟΜΗ,
ΕΠΙΓΡΑΦΟΜΕΝΗ
ΠΟΛΥΜΝΙΑ.

ρλή. Επανειμι δὲ ἐπὶ τὸν πρότερον λόγον. ἡ δὲ στρατηλασίη ἡ βασιλέος οὔνομα μὲν εἶχε ὡς ἐπ᾽ Ἀθήνας ἐλαύνει, κατίετο δὲ ἐς πᾶσαν τὴν Ἑλλάδα. πυνθανόμενοι δὲ ταῦτα πρὸ πολλοῦ οἱ Ἕλληνες, οὐκ ἐν ὁμοίῳ πάντες

HERODOTI
HALICARNASSEI
HISTORIARUM
LIBER SEPTIMUS,
QUI INSCRIBITUR
POLYMNIA.

138. Quæ expeditio, ut ad superiorem orationem redeam, nomen quidem habebat, quasi tenderet contra Athenas, sed descendit contra cunctam Græciam. Eam diu ante Græci quum percepissent, non perinde omnes affecti sunt: nam ii

ἐποιεῦντο. οἱ μὲν γὰρ αὐτέων, δόντες γῆν τε καὶ ὕδωρ τῷ Πέρσῃ, εἶχον θάρσος ὡς οὐδὲν πεισόμενοι ἄχαρι πρὸς τοῦ βαρβάρου· οἱ δὲ, οὐ δόντες, ἐν δείματι μεγάλῳ κατέστασαν, ἅτε οὔτε νεῶν ἐουσέων ἐν τῇ Ἑλλάδι ἀριθμὸν ἀξιομάχων δέκεσθαι τὸν ἐπιόντα, οὔτε βουλομένων τῶν πολλῶν ἀντάπτεσθαι τοῦ πολέμου, μηδιζόντων δὲ προθύμως.

ρλθʹ. Ἐνθαῦτα ἀναγκαίη ἐξέργομαι γνώμην ἀποδέξασθαι, ἐπίφθονον μὲν πρὸς τῶν πλεόνων ἀνθρώπων, ὅμως δὲ, τῇ γέ μοι φαίνεται εἶναι ἀληθὲς, οὐκ ἐπισχήσω. εἰ Ἀθηναῖοι καταῤῥωδήσαντες τὸν ἐπιόντα κίνδυνον, ἐξέλιπον τὴν σφετέρην, ἢ καὶ μὴ ἐκλιπόντες, ἀλλα μείναντες, ἔδοσαν σφέας αὐτοὺς Ξέρξῃ, κατὰ τὴν θάλασσαν οὐδαμοὶ ἂν ἐπειρῶντο ἀντιεύ-

---

qui terram et aquam dederant Persæ, fiduciam animo præsumebant tanquam nihil ingratum passuri a barbaro: qui non dederant, magno in metu versabantur; quippe quum nulla tanta classis esset in Græcia, quæ posset excipere invadentem, etiam plerisque detrectantibus resistere, et libenter ad partes Medorum inclinantibus.

139. Hoc ego loco necesse habeo ferre sententiam apud plures quidem homines invidiosam, at tamen qua mihi videtur esse verum, non inhibebo. Si Athenienses formidantes periculum quod impendebat, patriam deseruissent, aut etiam, non deserentes, sed manentes, sese dedissent Xerxi, nulli omnino adversus regem in mari

μενοι βασιλέϊ. εἰ τοίνυν κατὰ τὴν θάλασσαν μηδεὶς ἠντιοῦτο Ξέρξῃ, κατά γε ἂν τὴν ἤπειρον τοιάδε ἐγένετο· εἰ καὶ πολλοὶ τειχέων κιθῶνες ἦσαν ἐληλαμένοι διὰ τοῦ Ἰσθμοῦ Πελοποννησίοισι, προδοθέντες ἂν Λακεδαιμόνιοι ὑπὸ τῶν συμμάχων οὐκ ἑκόντων, ἀλλ' ὑπ' ἀναγκαίης, κατὰ πόλις ἁλισκομένων ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ τοῦ βαρβάρου, ἐμουνώθησαν. μουνωθέντες δὲ ἄν, καὶ ἀποδεξάμενοι ἔργα μεγάλα, ἀπέθανον γενναίως. ἢ ταῦτα ἂν ἔπαθον, ἢ πρὸ τοῦ, ὁρῶντες ἂν καὶ τοὺς ἄλλους Ἕλληνας μηδίζοντας, ὁμολογίῃ ἂν ἐχρήσαντο πρὸς Ξέρξεα. καὶ οὕτω ἂν ἐπ' ἀμφότερα ἡ Ἑλλὰς ἐγίνετο ὑπὸ Πέρσῃσι. τὴν γὰρ ὠφελίην τὴν τῶν τειχέων τῶν διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένων οὐ δύναμαι πυθέσθαι ἥτις ἂν ἦν,

---

tentavissent: si igitur nemo mari se opposuisset Xerxi, hæc in continenti gesta essent: si etiam multæ murorum essent tunicæ ductæ a Peloponnensibus per Isthmum; proditi Lacedæmonii ab sociis non voluntariis, sed necessitate per singulas urbes a classe barbara captis desolati fuissent; desolatique et magna opera edentes, generose occubuissent. Aut hæc passi essent, aut priusquam id fieret, videntes etiam alios Græcos cum Medis sentientes, fœdus cum Xerxe inivissent etiam. Ita utroque modo sub Persis Græcia fuisset. Nam murorum per Isthmum ductorum quænam utilitas futura esset rege mari potiente, nequeo percipere. Nunc autem siqui A-

βασιλέος ἐπικρατέοντος τῆς θαλάσσης. νῦν δὲ Ἀθηναίους ἄν τις λέγων σωτῆρας γενέσθαι τῆς Ἑλλάδος, οὐκ ἂν ἁμαρτάνοι τἀληθέος. οὗτοι γὰρ ἐπὶ ὁκότερα τῶν πρηγμάτων ἐτράποντο, ταῦτα ῥέψειν ἔμελλε. ἑλόμενοι δὲ τὴν Ἑλλάδα περιεῖναι ἐλευθέρην, τοῦτο τὸ Ἑλληνικὸν πᾶν τὸ λοιπὸν ὅσον μὴ ἐμήδισε, αὐτοὶ οὗτοι ἔσαν οἱ ἐπεγείραντες, καὶ βασιλῆα μετά γε θεοὺς ἀνωσάμενοι. οὐδέ σφεας χρηστήρια φοβερὰ ἐλθόντα ἐκ Δελφῶν, καὶ ἐς δεῖμα βαλόντα, ἔπεισε ἐκλιπεῖν τὴν Ἑλλάδα, ἀλλὰ καταμείναντες, ἀνέσχοντο τὸν ἐπιόντα ἐπὶ τὴν χώρην δέξασθαι.

ρμ΄. Πέμψαντες γὰρ οἱ Ἀθηναῖοι ἐς Δελφοὺς θεοπρόπους, χρηστηριάζεσθαι ἔσαν ἑτοῖμοι. καὶ σφι ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομι-

---

thenienses Græciæ liberatores extitisse dicat, profecto non aberret a vero; nam hi in quæcunque advertissent, hæ partes erant præponderaturæ: quum vero prætulerint Græciam superesse liberam, hi ipsi fuere qui quicquid Græciæ reliquum erat cum Medis non sentiens erexerunt; quique secundum deos, regem repulerunt; neque illos oracula horrenda ac terribilia, quæ a Delphis veniebant, induxerunt ad Græciam deserendam, sed persistentes sustinuerunt excipere hostem sua invadentem.

140. Siquidem consultoribus Delphos missis, uti oraculo Athenienses volebant: iisque factis apud templum quæ ritus postulabat, ubi ædem ingressi

ζόμενα, ὡς ἐς τὸ μέγαρον ἐσελθόντες ἵζοντο, χρᾷ ἡ Πυθίη, τῇ οὔνομα ἦν Ἀριστονίκη, τάδε,

Ὦ μέλεοι, τί κάθησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης
Δώματα, καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.
Οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδον, οὔτε τὸ σῶμα,
Οὔτε πόδες νέατοι, οὔτ' ὦν χέρες, οὔτε τι μέσσης
Λείπεται, ἀλλ' ἄζηλα πέλει. κατὰ γάρ μιν ἐρείπει
Πῦρ τε καὶ ὀξὺς Ἄρης, Συριηγενὲς ἅρμα διώκων.
Πολλὰ δὲ κἄλλ' ἀπολεῖ πυργώματα, κοὐ τὸ σὸν οἶον·
Πολλοὺς δ' ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
Οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,
Δείματι παλλόμενοι. κατὰ δ' ἀκροτάτοις ὀρόφοισι
Αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκας.
Ἀλλ' ἴτον ἐξ ἀδύτοιο, κακοῖς δ' ἐπικίδνατε θυμόν.

ρμά. Ταῦτα ἀκούσαντες οἱ τῶν Ἀθηναίων

---

consederunt; Pythia cui nomen erat Aristonice, ita vaticinatur,

O miseri! quid adestis? ad extima cedite terræ,
Ædibus et globidæ desertis collibus urbis.
Non etenim firmum remanet caput, ac neque corpus,
Extremive pedes; manibus pariter medioque
Nil salvi est, destructa jacent; illam ignis et horrens
Mars vastat Syrio in curru furibundus et armis.
Hic tibi non solum, hic aliis castella revellit,
Permultasque deûm sævis dabit ignibus ædes,
Quas nunc hic illic spectas sudore fluentes,
Atque metu tremulas; et de laquearibus altis
Prospiciens fati ærumnas cruor editur ater.
Ite sed ex adyto, atque malis effundite mentem.

141. His auditis Atheniensium consultores maximo sunt

θεοπρόποι, συμφορῇ τῇ μεγίστῃ ἐχρέοντο· προβάλλουσι δέ σφεας αὐτοὺς ὑπὸ τοῦ κακοῦ τοῦ κεχρησμένου, Τίμων ὁ Ἀνδροβούλου τῶν Δελφῶν ἀνὴρ δόκιμος ὁμοῖα τῷ μάλιστα συνεβούλευέ σφι ἱκετηρίας λαβοῦσι, δεύτερα αὖτις ἐλθόντας χρέεσθαι τῷ χρηστηρίῳ ὡς ἱκέτας. πειθομένοισι δὲ ταῦτα τοῖσι Ἀθηναίοισι, καὶ λέγουσι, "Ὦναξ, χρῆσον ἡμῖν ἄμεινόν τι "περὶ τῆς πατρίδος, αἰδεσθεὶς τὰς ἱκετηρίας "τάσδε τάς τοι ἥκομεν φέροντες· ἢ οὔ τοι "ἄπιμεν ἐκ τοῦ ἀδύτου, ἀλλ' αὐτοῦ τῇδε "μενέομεν, ἔστ' ἂν καὶ τελευτήσομεν". ταῦτα λέγουσι ἡ πρόμαντις χρᾷ δεύτερα τάδε,

Οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι,
Λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
Σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω, ἀδάμαντι πελάσσας.

---

mœrore affecti: quibus projicientibus sese propter tam triste responsum, Timon Androbuli filius, vir apud Delphos illustris ut qui maxime, suasit illis, ut sumpto supplicum habitu de integro reverterentur ad consulendum oraculum ut supplices. Obtemperantibus ei Atheniensibus et dicentibus, 'O Rex, redde nobis oraculum melius de patria, reveritus hæc pignora supplicantium, quæ gestantes ad te venimus: alioqui ex adyto non abimus, sed hic manebimus vel ad obitum usque;' Hæc dicentibus, antistes iterum hoc modo respondit,

Officiosa Jovem dominantem Pallas Olympo
Nec ratione potest sed nec placare precando.
Hoc tibi sed rursum ipso adamante perennius aio:

Τῶν ἄλλων γὰρ ἁλισκομένων, ὅσα Κέκροπος οὖρος
Ἐντὸς ἔχει, κευθμών τε Κιθαιρῶνος ζαθέοιο,
Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
Μοῦνον ἀπόρθητον τελέθειν, τό σε τέκνα τ' ὀνήσει.
Μὴ δὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
Πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν,
Νῶτον ἐπιστρέψας, ἔτι τοι κοτὲ κἀντίος ἔσσῃ.
Ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,
Ἤ που σκιδναμένης Δημήτερος, ἢ συνιούσης.

ρμβ'. Ταῦτα σφι, ἠπιώτερα γὰρ τῶν προτέρων καὶ ἦν καὶ ἐδόκεε εἶναι, συγγραψάμενοι, ἀπαλλάσσαντο ἐς τὰς Ἀθήνας. ὡς δὲ ἀπελθόντες οἱ θεοπρόποι ἀπήγγελον ἐς τὸν δῆμον, γνῶμαι πολλαὶ καὶ ἄλλαι ἐγίνοντο, διζημένων τὸ μαντήϊον, καὶ αἵδε συνεστηκυῖαι μάλιστα. τῶν πρεσβυτέρων ἔλεγον μετεξέ-

---

Nam captis reliquis, quæ limes Cecropis intus
Comprendit, quodcunque sacer penetrale Cithæron,
Juppiter e ligno muris Tritonida donat.
Qui soli invicti tibi sint natisque saluti.
Tu vero adventum peditumque equitumque quietus,
Terrestresque acies ne præstolare: sed hosti
Terga dato, vel si tibi fors erit obvius usquam.
O Salamis divina, teres tu pignora matrum,
Sit licet aut dispersa Ceres, aut prompta coire.

142. Hæc legati, ut erant, arbitrati prioribus mitiora, postquam conscripserunt, Athenas rediere, reversique ad populum recitavere; tum multæ et aliæ sententiæ exstiterunt oraculi mentem quærentium, et hæ quas maxime solidas esse apparebat: quidam e majoribus natu dixere, videri sibi deum re-

τεροι, δοκέειν σφι τὸν θεὸν τὴν ἀκρόπολιν χρῆσαι περιέσεσθαι· ἡ γὰρ ἀκρόπολις τοπάλαι τῶν Ἀθηναίων ῥηχῷ ἐπέφρακτο. οἱ μὲν δὴ κατα τὸν φραγμὸν, συνεβάλλοντο τοῦτο τὸ ξύλινον τεῖχος εἶναι. οἱ δ' αὖ ἔλεγον τὰς νέας σημαίνειν τὸν θεὸν, καὶ ταύτας παραρτέεσθαι ἐκέλευον, τὰ ἄλλα ἀπέντας. τοὺς ὦν δὴ τὰς νέας λέγοντας εἶναι τὸ ξύλινον τεῖχος, ἔσφαλλε τὰ δύο τὰ τελευταῖα ῥηθέντα ὑπὸ τῆς Πυθίης,

Ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,
Ἤ που σκιδναμένης Δημήτερος, ἢ συνιούσης.

κατὰ ταῦτα τὰ ἔπεα συνεχέοντο αἱ γνῶμαι τῶν φαμένων τὰς νέας τὸ ξύλινον τεῖχος εἶναι. οἱ γὰρ χρησμολόγοι ταύτῃ ταῦτα ἐλάμβανον, ὡς ἀμφὶ Σαλαμῖνα δεῖ σφεας ἑσσωθῆναι, ναυμαχίην παρασκευασαμένους.

---

spondere salvam fore arcem, olim enim Atheniensium arx præsepta vallo fuit: et ii quidem ad vallum conjiciebant spectare hunc ligneum murum. Alii vero dicebant deum significare naves, easque ceteris omissis parari jubebant. Verum eos qui aiebant naves esse ligneum murum, fallebant duo postrema dicta ab Pythia,

O Salamis divina, teres tu pignora matrum,
Sit licet aut dispersa Ceres, aut prompta coire.

Circa hos versus confundebantur eorum sententiæ, qui naves dixerunt esse ligneum murum: nam oraculi interpretes illuc ea accipiebant, quasi oporteret circa Salaminem ipsos vinci pugnam navalem aggressos.

ρμγ΄. Ἦν δὲ τῶν τις Ἀθηναίων ἀνὴρ ἐς πρώτους νεωστὶ παριὼν, τῷ οὔνομα μὲν ἦν Θεμιστοκλέης, παῖς δὲ Νεοκλέος ἐκαλέετο. οὗτος ὡνὴρ οὐκ ἔφη πᾶν ὀρθῶς τοὺς χρησμολόγους συμβάλλεσθαι, λέγων τοιάδε, εἰ ἐς Ἀθηναίους εἶχε τὸ ἔπος εἰρημένον ἐόν κως, οὐκ ἂν οὕτω μιν δοκέειν ἠπίως χρησθῆναι, ἀλλὰ ὧδε, Ὦ σχετλίη Σαλαμὶς, ἀντὶ τοῦ, Ὦ θείη Σαλαμὶς· εἴπερ γε ἔμελλον οἱ οἰκήτορες ἀμφ' αὐτῇ τελευτήσειν· ἀλλὰ γὰρ ἐς τοὺς πολεμίους τῷ θεῷ εἰρῆσθαι τὸ χρηστήριον, συλλαμβάνοντι κατὰ τὸ ὀρθὸν, ἀλλ' οὐκ ἐς Ἀθηναίους. παρασκευάζεσθαι ὦν αὐτοὺς ὡς ναυμαχήσοντας συνεβούλευε, ὡς τούτου ἐόντος τοῦ ξυλίνου τείχεος. ταύτῃ Θεμιστοκλέος ἀποφαινομένου, Ἀθηναῖοι ταῦτά σφι ἔγνωσαν

---

143. Erat autem inter Athenienses vir ad primores recens progressus, nomine Themistocles, Neoclis filius. Hic vero negabat interpretes omnia recte conjectare: talia dicens, Si illud carmen quod dictum est ad Athenienses spectaret ullo modo, non ita placide videri deum fuisse responsurum, sed sic, O Salamis misera, pro eo quod dixit, O divina Salamis; si circa eam incolæ forent oppetituri: sed enim recte conjectanti sentiendum a deo contra hostes editum esse oraculum, non contra Athenienses. Itaque suadebat ut sese instruerent tanquam prœlio navali certaturi, utpote quum hic esset ligneus murus. Hanc Themistoclis sententiam Athenienses potiorem esse censuerunt magis quam illorum interpretum oraculi, qui dissua-

αἱρετώτερα εἶναι μᾶλλον ἢ τὰ τῶν χρησμολόγων, οἳ οὐκ ἔων ναυμαχίην ἀρτέεσθαι. τὸ δὲ σύμπαν εἶναι, οὐδὲ χεῖρας ἀνταείρεσθαι, ἀλλὰ ἐκλιπόντας χώρην τὴν Ἀττικὴν, ἄλλην τινὰ οἰκίζειν.

ρμδ'. Ἑτέρη τε Θεμιστοκλέϊ γνώμη ἔμπροσθε ταύτης ἐς καιρὸν ἠρίστευσε, ὅτε Ἀθηναίοισι, γενομένων χρημάτων μεγάλων ἐν τῷ κοινῷ, τὰ ἐκ τῶν μετάλλων σφι προσῆλθε τῶν ἀπὸ Λαυρείου, ἔμελλον λάξεσθαι ὀρχηδὸν ἕκαστος δέκα δραχμάς. τότε Θεμιστοκλέης ἀνέγνωσε Ἀθηναίους, τῆς διαιρέσιος ταύτης παυσαμένους, νέας τουτέων τῶν χρημάτων ποιήσασθαι διηκοσίας ἐς τὸν πόλεμον, τὸν πρὸς Αἰγινήτας λέγων. οὗτος γὰρ ὁ πόλεμος συστὰς, ἔσωσε τότε τὴν Ἑλλάδα, ἀναγκάσ-

---

debant apparatum pugnæ navalis: sed hanc esse summam sententiæ dicebant, non levandam in hostem manum, sed ex Attica regione demigrantes aliam quandam incolere.

144. Extitit et alia ante hanc Themistoclis sententia ad tempus egregia. Magna vis pecuniæ collecta erat ex reipublicæ ærario. Unde illam e proventu metallorum quæ sunt e Laureo, erant æque divisuri viritim denis in singulos drachmis; tunc Themistocles hanc dissuasit Atheniensibus distributionem, sed ex ista pecunia classem ducentarum navium ad Ægineticum bellum comparare suasit. Hoc enim bellum tunc conflatum Graeciæ salutem attulit, cogens Athenienses

ας θαλασσίους γενέσθαι Ἀθηναίους. αἱ δὲ ἐς τὸ μὲν ἐποιήθησαν, οὐκ ἐχρήσθησαν, ἐς δέον δὲ οὕτω τῇ Ἑλλάδι ἐγένοντο. αὗταί τε δὴ αἱ νέες τοῖσι Ἀθηναίοισι προποιηθεῖσαι ὑπῆρχον, ἑτέρας τε ἔδεε προσναυπηγέεσθαι. ἔδοξέ τέ σφι μετὰ τὸ χρηστήριον βουλευομένοισι, ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα τὸν βάρβαρον δέκεσθαι τῇσι νηυσὶ πανδημεὶ, τῷ θεῷ πειθομένους, ἅμα Ἑλλήνων τοῖσι βουλομένοισι. τὰ μὲν δὴ χρηστήρια ταῦτα τοῖσι Ἀθηναίοισι ἐγεγόνεε.

ρμέ. Συλλεγομένων δὲ ἐς τὠϋτὸ τῶν Ἑλλήνων τῶν περὶ τὴν Ἑλλάδα τὰ ἀμείνω φρονεόντων, καὶ διδόντων σφίσι λόγον καὶ πίστιν, ἐνθαῦτα ἐδόκεε βουλευομένοισι αὐτοῖσι, πρῶτον μὲν χρημάτων πάντων καταλλάσσεσθαι τάς τε ἔχθρας καὶ τοὺς κατ᾽ ἀλλήλους ἐόν-

---

nauticos fieri. Hæ vero naves quidem in quem usum comparatæ fuerant, non fuerunt adhibitæ; at tamen ita in opportunitatem Græciæ cesserunt. Istæ igitur naves jam præparatæ Atheniensibus erant, et alias exædificari oportebat; placuitque illis, inito post oraculum consilio, barbarum Græciam invadentem navibus excipere universos Atticos, deo obsequentes, una cum Græcis ita volentibus. Et hæc quidem oracula Atheniensibus sunt reddita.

145. Coactis autem in eundem locum Græcis qui circa Græciam melius sentiebant, interque se colloquutis interposita fide, ibi consilio habito visum est ante omnia faciendum, ut reconciliarentur inimicitiæ et bella, quæ ipsis incesserant. Quippe erant jam adversus

τας πολέμους. ἔσαν δὲ πρός τινας καὶ ἄλλους ἐγκεχρημένοι· ὁ δὲ ὢν μέγιστος, Ἀθηναίοισί τε καὶ Αἰγινήτῃσι. μετὰ δὲ, πυνθανόμενοι Ξέρξεα σὺν τῷ στρατῷ εἶναι ἐν Σάρδισι, ἐβουλεύσαντο κατασκόπους πέμπειν ἐς τὴν Ἀσίην τῶν βασιλέος πρηγμάτων. ἐς Ἄργος τε ἀγγέλους, ὁμαιχμίην συνθησομένους πρὸς τὸν Πέρσην, καὶ ἐς Σικελίην ἄλλους πέμπειν παρὰ Γέλωνα τὸν Δεινομένεος, ἔς τε Κέρκυραν, κελεύσοντας βοηθέειν τῇ Ἑλλάδι, καὶ ἐς Κρήτην ἄλλους· φρονήσαντες εἴ κως ἕν τε γένοιατο τὸ Ἑλληνικὸν, καὶ εἰ συγκύψαντες τὠϋτὸ πρήσσοιεν πάντες, ὡς δεινῶν ἐπιόντων ὁμοίως πᾶσι τοῖσι Ἕλλησι. τὰ δὲ Γέλωνος πρήγματα, μεγάλα ἐλέγετο εἶναι, οὐδαμῶν Ἑλληνικῶν τῶν οὐ πολλὸν μέζω.

---

quosdam et alios inchoata; sed maximum inter Athenienses et Æginetas. Posteaquam autem Xerxem cum exercitu Sardibus esse audiere, Athenienses decrevere cum aliquos in Asiam mittendos ad res regis explorandas, tum nuncios partim Argos, ad contrahendam adversus Persam belli societatem, partim in Siciliam ad Gelonem Dinomenis filium, sed et in Corcyram, etiam in Cretam, rogaturos opem Græciæ ferri: eo animo ut, si fieri posset, omne Græcum nomen unum esset, et ad idem agendum omnes incumberent, utpote calamitate cunctis similiter Græcis impendente. Ferebantur autem res Gelonis magnæ esse, ut nullis Græcis non majores haberet vires.

ρμϛ´. Ὡς δὲ ταῦτά σφι ἔδοξε, καταλυσάμενοι τὰς ἔχθρας, πρῶτα μὲν κατασκόπους πέμπουσι ἐς τὴν Ἀσίην ἄνδρας τρεῖς. οἱ δὲ, ἀπικόμενοί τε ἐς Σάρδις καὶ καταμαθόντες τὴν βασιλέος στρατιὴν, ὡς ἐπάϊστοι ἐγένοντο, βασανισθέντες ὑπὸ τῶν στρατηγῶν τοῦ πεζοῦ στρατοῦ, ἀπήγοντο ὡς ἀπολεύμενοι· καὶ τοῖσι μὲν κατεκέκριτο θάνατος. Ξέρξης δὲ ὡς ἐπύθετο ταῦτα, μεμφθεὶς τῶν στρατηγῶν τὴν γνώμην, πέμπει τῶν τινας δορυφόρων, ἐντειλάμενος, ἢν καταλάβωσι τοὺς κατασκόπους ζῶντας, ἄγειν παρ' ἑωϋτόν. ὡς δὲ ἔτι περιεόντας αὐτοὺς κατέλαβον, καὶ ἦγον ἐς ὄψιν τὴν βασιλέος, τὸ ἐνθεῦτεν πυθόμενος ἐπ' οἷσι ἦλθον, ἐκέλευσέ σφεας τοὺς δορυφόρους περιάγοντας ἐπιδείκνυσθαι πάντα τε τὸν πεζὸν στρατὸν

---

146. Ubi hæc eis placuere, et in gratiam inter se rediere, primo exploratores in Asiam tres viros misere: qui quum Sardes venissent, et in speculando regis exercitu deprehensi essent, a ducibus pedestrium copiarum torti ducebantur tanquam perituri, lata in eos mortis sententia. Id ubi Xerxes audiit, reprehensa ducum sententia, mittit quosdam e satellitibus jubens ut si vivos adipiscerentur speculatores, ad sese ducerent. Eos adhuc superstites adepti satellites, in regis conspectum adduxerunt; qui sciscitatus qua de caussa venissent, præcepit satellitibus, ut homines circumducerent, peditatum omnem equitatumque ostentantes: et eos, ubi con-

καὶ τὴν ἵππον· ἐπεὰν δὲ ταῦτα θηεύμενοι ἔωσι πλήρεες, ἀποπέμπειν ἐς τὴν ἂν αὐτοὶ ἐθέλωσι χώρην ἀσινέας.

ρμζ΄. Ἐπιλέγων δὲ τὸν λόγον τόνδε, ταῦτα ἐνετέλλετο, ὡς εἰ μὲν ἀπώλοντο οἱ κατάσκοποι, οὔτ' ἂν τὰ ἑωϋτοῦ πρήγματα προεπύθοντο οἱ Ἕλληνες ἐόντα λόγου μέζω, οὔτ' ἄν τι τοὺς πολεμίους μέγα ἐσινέατο, ἄνδρας τρεῖς ἀπολέσαντες· νοστησάντων δὲ τουτέων ἐς τὴν Ἑλλάδα, δοκέειν ἔφη ἀκούσαντας τοὺς Ἕλληνας τὰ ἑωϋτοῦ πρήγματα, πρὸ τοῦ στόλου τοῦ γινομένου παραδώσειν σφέας τὴν ἰδίην ἐλευθερίην, καὶ οὕτω οὐδὲ δεήσειν ἐπ' αὐτοὺς στρατηλατέοντας πρήγματα ἔχειν. Οἶκε δὲ αὐτοῦ αὕτη ἡ γνώμη τῇ γε ἄλλῃ. ἐὼν γὰρ ἐν Ἀβύδῳ ὁ Ξέρξης, εἶδε πλοῖα ἐκ τοῦ Πόντου σιταγωγὰ, διεκπλώοντα

templando illa expleti fuissent, sine noxa dimitterent quocunque locorum ire ipsis libuisset.

147 Hoc Xerxes ea ratione imperavit, quod cogitabat fore, ut si speculatores necati fuissent, neque Græci præsciscerent potentiam suam esse fama majorem, neque graviter læderent hostem tribus viris interemptis: at iisdem in Græciam regressis, fore ut Græci quod se opinari dicebat auditis rebus suis antequam expeditio hæc accederet, propriam libertatem proderent, atque ita non oporteret suscipere molestiam de exercitu in eos ducendo. Hæc sententia Xerxis cum altera quadam congruit; nam quum Abydi ageret Xer-

τὸν Ἑλλήσποντον, ἔς τε Αἴγιναν, καὶ Πελοπόννησον κομιζόμενα. οἱ μὲν δὴ πάρεδροι αὐτοῦ ὡς ἐπύθοντο πολέμια εἶναι τὰ πλοῖα, ἑτοῖμοι ἔσαν αἱρέειν αὐτὰ, ἐσβλέποντες ἐς τὸν βασιλῆα, ὁκότε παραγγελέει. ὁ δὲ Ξέρξης εἴρετο αὐτοὺς ὅκη πλέοιεν· οἱ δὲ εἶπαν, "Ἐς "τοὺς σοὺς πολεμίους, ὦ δέσποτα, σῖτον "ἄγοντες·" ὁ δὲ, ὑπολαβὼν ἔφη, "Οὐκῶν "καὶ ἡμεῖς ἐκεῖ πλέομεν, ἔνθαπερ καὶ οὗτοι, "τοῖσί τε ἄλλοισι ἐξηρτυμένοι καὶ σίτῳ. τί "δῆτα ἀδικέουσι οὗτοι ἡμῖν σιτία παρακομί-"ζοντες"; Οἱ μέν νυν κατάσκοποι οὕτω θεησάμενοί τε καὶ ἀποπεμφθέντες, ἐνόστησαν ἐς τὴν Εὐρώπην.

ρμη΄. Οἱ δὲ συνωμόται Ἑλλήνων ἐπὶ τῷ Πέρσῃ, μετὰ τὴν ἀπόπεμψιν τῶν κατασκό-

---

xes, vidit naves cursum tenentes per Hellespontum, quæ frumentum e Ponto in Æginam Peloponnesumque portabant: quas ubi audiere ejus assessores esse hostium, sese ad eas corripiendas accingebant, intuentes in regem, quando id agi præciperet. Xerxes eos interrogavit quonam illi tenderent; qui quum respondissent, Ad hostes tuos, domine, frumentum vehentes: tunc Xerxes excipiens: inquit, Nonne eodem, quo isti, et nos navigamus, tum rebus aliis, tum frumento instructi? quid igitur hi officiunt nobis, quibus commeatum portant? Ceterum speculatores illi rebus inspectis dimissi in Europam rediere.

148. Post quorum reditum Græci qui contra Persam conjurarant, nuncios iterum Argos

πων, δεύτερα ἔπεμπων ἐς Ἄργος ἀγγέλους. Ἀργεῖοι δὲ λέγουσι τὰ κατ' ἑωϋτοὺς γενέσθαι ὧδε. πυθέσθαι γὰρ αὐτίκα κατ' ἀρχὰς τὰ ἐκ τοῦ βαρβάρου ἐγειρόμενα ἐπὶ τὴν Ἑλλάδα. πυθόμενοι δὲ, καὶ μαθόντες ὡς σφέας οἱ Ἕλληνες πειρήσονται παραλαμβάνοντες ἐπὶ τὸν Πέρσην, πέμψαι θεοπρόπους ἐς Δελφοὺς, τὸν θέον ἐπειρησομένους ὥς σφι μέλλει ἄριστον ποιεῦσι γενέσθαι· νεωστὶ γὰρ σφέων τεθνάναι ἑξακισχιλίους ὑπὸ Λακηδαιμονίων καὶ Κλεομένεος τοῦ Ἀναξανδρίδεω· τῶνδε δὴ εἵνεκα πέμπειν. τὴν δὲ Πυθίην ἐπειρωτῶσι αὐτοῖσι ἀνελεῖν τάδε,

Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσι,
Εἴσω τὸν προβόλαιον ἔχων, πεφυλαγμένος ἧσο,
Καὶ κεφαλὴν πεφύλαξο· κάρη δὲ τὸ σῶμα σαώσει.

---

miserunt. Sed Argivi narrant hoc negotium apud se ita confectum esse. Audisse se statim ab initio ea quæ ab barbaro excitarentur adversus Græciam, et quum accepissent intellexissentque ab Græcis se tentatum iri, ut ipsos adsciscerent contra Persam, misisse Delphos qui deum consulerent quid sibi facientibus esset optime eventurum, nuper enim sex millia suorum fuisse interempta a Lacedæmoniis et Cleomene Anaxandridæ filio, eaque de caussa se mittere. Ita qui missi fuerant interrogantibus, sic Pythiam respondisse,

Finitimis invise, deis dilecte beatis,
Interius tutamen habens, cautusque sedeto,
Et tutare caput: nam membra tuebitur illud.

ταῦτα μὲν τὴν Πυθίην χρῆσαι πρότερον. μετὰ δὲ, ὡς ἐλθεῖν τοὺς ἀγγέλους ἐς δὴ τὸ Ἄργος, ἐπελθεῖν ἐπὶ τὸ βουλευτήριον, καὶ λέγειν τὰ ἐντεταλμένα. τοὺς δὲ πρὸς τὰ λεγόμενα ὑποκρίνασθαι, ὡς ἑτοῖμοί εἰσι Ἀργεῖοι ποιέειν ταῦτα, τριήκοντα ἔτεα εἰρήνην σπεισάμενοι Λακεδαιμονίοισι, καὶ ἡγεόμενοι κατὰ τὸ ἥμισυ πάσης τῆς συμμαχίης· καίτοι κατά γε τὸ δίκαιον γίνεσθαι τὴν ἡγεμονίην ἑωϋτῶν, ἀλλ' ὅμως σφι ἀποχρᾷν κατὰ τὸ ἥμισυ ἡγεομένοισι.

ρμθ΄. Ταῦτα μὲν λέγουσι τὴν βουλὴν ὑποκρίνασθαι, καίπερ ἀπαγορεύοντός σφι τοῦ χρηστηρίου μὴ ποιέεσθαι τὴν πρὸς τοὺς Ἕλληνας συμμαχίην. σπουδὴν δὲ ἔχειν σπονδὰς γενέσθαι τριηκονταέτιδας, καίπερ τὸ χρη-

---

Hæc illis Pythiam prius respondisse. Postea vero quam nuncii Argos venerunt, senatumque ingressi mandata retulerunt, Argivi responderunt ad ea quæ dicebantur, se promptos esse in triginta annos pacificare cum Lacedæmoniis, percusso fœdere, et dimidium imperii penes se esse postulare, quanquam enim æquum foret jus imperandi ipsorum esse, tamen dimidio imperii se esse contentos.

149. Hoc aiebant suum senatum respondisse, quamvis dissuadente oraculo societatem contrahere cum Græcis: et licet formidarent oraculum, tamen serio urgere, ut fœdus triginta annorum feriretur; intra quos annos liberi sui in virilem

στήριον φοβεομένοισι, ἵνα δή σφι οἱ παῖδες ἀνδρεωθέωσι ἐν τούτοισι τοῖσι ἔτεσι· μηδὲ σπονδέων ἐουσέων, ἐπιλέγεσθαι, ἢν ἄρα σφέας καταλάβῃ πρὸς τῷ γεγονότι κακῷ ἄλλο πταῖσμα πρὸς τὸν Πέρσην, μὴ τολοιπὸν ἔωσι τῶν Λακεδαιμονίων ὑπήκοοι. τῶν δὲ ἀγγέλων τοὺς ἀπὸ τῆς Σπάρτης πρὸς τὰ ῥηθέντα ἐκ τῆς βουλῆς ἀμείψασθαι τοῖσδε, περὶ μὲν σπονδέων ἀνοίσειν ἐς τοὺς πλεῦνας, περὶ δὲ ἡγεμονίης, αὐτοῖσι ἐντετάλθαι ὑποκρίνασθαι, καὶ δὴ λέγειν, σφι μὲν εἶναι δύο βασιλῆας, Ἀργείοισι δὲ ἕνα· οὔκων δυνατὸν εἶναι τῶν ἐκ Σπάρτης οὐδέτερον παῦσαι τῆς ἡγεμονίης· μετὰ δὲ δύο τῶν σφετέρων ὁμόψηφον τὸν Ἀργεῖον εἶναι, κωλύειν οὐδέν. οὕτω δὴ οἱ Ἀργεῖοι φασὶ οὐκ ἀνασχέσθαι τῶν Σπαρτιητέων τὴν

ætatem adolescerent: hac videlicet ratione, ne si qua calamitas ad superius malum accederet in bello Persico, nisi fœdera forent, in posterum subjecti Lacedæmoniis essent. His dictis Argivorum a senatu, nuncios Spartanos ita respondisse. quod ad fœdera quidem attineret, se ad eos qui plures essent relegare: quod autem ad imperium, id vero sibi demandatum esse, ut responderent, ac sane dicere, sibi duos esse reges, Argivis unum, ideo non posse fieri ut alterutri Spartæ regi abrogaretur imperium: quominus cum iis duobus rex Argivus parem dignitatem obtineret, nihil obstare. Ita Argivi dicunt se noluisse perpeti Spartanorum insolentiam, sed præoptasse a bar-

πλεονεξίην, ἀλλ' ἑλέσθαι μᾶλλον ὑπὸ τῶν βαρβάρων ἄρχεσθαι ἤ τι ὑπεῖξαι Λακεδαιμονίοισι· προειπεῖν τε τοῖσι ἀγγέλοισι, πρὸ δύντος ἡλίου ἀπαλλάσσεσθαι ἐκ τῆς Ἀργείων χώρης· εἰ δὲ μὴ, περιέψεσθαι ὡς πολεμίους.

ρν'. Αὐτοὶ μὲν Ἀργεῖοι τοσαῦτα τουτέων πέρι λέγουσι. ἔστι δὲ ἄλλος λόγος λεγόμενος ἀνὰ τὴν Ἑλλάδα, ὡς Ξέρξης ἔπεμψε κήρυκα ἐς Ἄργος πρότερον ἤπερ ὁρμῆσαι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. ἐλθόντα δὲ τοῦτον λέγεται εἶπαι, "Ἄνδρες Ἀργεῖοι, βασιλεὺς " Ξέρξης τάδε ὑμῖν λέγει· Ἡμεῖς νομίζομεν " Πέρσην εἶναι, ἀπ' οὗ ἡμεῖς γεγόναμεν, " παῖδα Περσέος τοῦ Δανάης, γεγονότα ἐκ " τῆς Κηφέος θυγατρὸς Ἀνδρομέδης. οὕτω " ἂν ὦν εἴημεν ὑμέτεροι ἀπόγονοι. οὔτε ὦν

---

baro imperari sibi, quam Lacedæmoniis cedere, atque ita edixisse nunciis, ut priusquam occideret sol, ex agro Argivo excederent; alioqui hostium loco futuros.

150. Hoc ipsi Argivi sic se habere memorant; aliter tamen per Græciam narratur, Xerxem antequam bellum Græciæ inferret, misisse Argos caduceatorem: quo quum pervenit, ita fertur verba fecisse, Viri Argivi, Xerxes rex hæc vobis inquit, Nos arbitramur, Persem, ex quo nos progeniti sumus, fuisse filium Persei Danaës filii, ex Andromeda genitum, quæ fuit Cephei filia: ita igitur ex vobis oriundi sumus. Quod quum ita sit, nefas est et nos progenitoribus

"ἡμέας οἰκὸς ἐπὶ τοὺς ἡμετέρους προγόν-
"ους στρατεύεσθαι, οὔτε ὑμέας ἄλλοισι τι-
"μωρέοντας, ἡμῖν ἀντιξόους γενέσθαι, ἀλλὰ
"παρ' ὑμῖν αὐτοῖσι ἡσυχίην ἔχοντας κατῆσ-
"θαι. ἢν γὰρ ἐμοὶ γένηται κατὰ νόον, οὐ-
"δαμοὺς μέζονας ὑμέων ἄξω". ταῦτα ἀκού-
σαντας Ἀργείους λέγεται πρῆγμα ποιήσασθαι, καὶ παραχρῆμα μὲν οὐδὲν ἐπαγγελλομένους μεταιτέειν· ἐπεὶ δέ σφεας παραλαμβάνειν τοὺς Ἕλληνας, οὕτω δὴ ἐπισταμένους ὅτι οὐ μεταδώσουσι τῆς ἀρχῆς Λακεδαιμόνιοι, μεταιτέειν, ἵνα ἐπὶ προφάσιος ἡσυχίην ἄγωσι.

ρνα'. Συμπεσεῖν δὲ τούτοισι καὶ τόνδε τὸν λόγον λέγουσί τινες Ἑλλήνων, πολλοῖσι ἔτεσι ὕστερον γενόμενον τουτέων. τυχεῖν ἐν Σούσοισι τοῖσι Μεμνονείοισι ἐόντας ἑτέρου πρήγματος

---

nostris inferre bellum, et vos aliis opem ferendo, nobis adversarios fieri; sed potius domi vestræ vos considentes otium tenere, nam si mihi ex sententia succedet, nullos majores quam vos faciam. Hæc Argivi quum audissent, habuisse alicujus momenti dicuntur, et statim quidem nihil promittentes vicissim poscere: sed quum ab Græcis adsciscerentur, tunc partem imperii poposcisse, gnari eam Lacedæmonios non concessuros, ut hoc prætextu tranquilli agerent.

151. Quibus convenisse etiam hanc narrationem quidam Græcorum memorant, rei multis postea annis gestæ: quum Susis Memnoniis alterius negotii gratia essent Atheniensium le-

εἵνεκα ἀγγέλους Ἀθηναίων, Καλλίην τε τὸν Ἱππονίκου, καὶ τοὺς μετὰ τούτου ἀναβάντας. Ἀργείους δὲ, τὸν αὐτὸν τοῦτον χρόνον πέμψαντας καὶ τούτους ἐς Σοῦσα ἀγγέλους, εἰρωτᾷν Ἀρταξέρξεα τὸν Ξέρξεω, εἴ σφι ἔτι ἐμμένει τὴν πρὸς Ξέρξεα φιλίην συνεκεράσαντο, ἢ νομιζοίατο πρὸς αὐτοῦ εἶναι πολέμιοι. βασιλῆα δὲ Ἀρταξέρξεα μάλιστα ἐμμένειν φάναι, καὶ οὐδεμίην νομίζειν πόλιν Ἄργεος φιλιωτέρην.

ρνβ΄. Εἰ μὲν νυν Ξέρξης τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα ἐς Ἄργος, καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα ἐπειρώτων Ἀρταξέρξεα περὶ φιλίης, οὐκ ἔχω ἀτρεκέως εἶπαι· οὐδὲ τινα γνώμην περὶ αὐτέων ἀποφαίνομαι ἄλλην γε ἢ τήνπερ αὐτοὶ Ἀργεῖοι λέγουσι.

---

gati Callias Hipponici filius et collegæ qui pariter ascenderant, contigit ut Argivi et ipsi per idem istud tempus Susa miserint legatos, qui Artaxerxem filium Xerxis interrogarent, utrum amicitiam quam cum Xerxe contraxissent, ipsis adhuc continuaret, an ab illo pro hostibus haberentur. Quibus Artaxerxes, imo vero maxime perdurare respondit, nullamque sibi civitatem amiciorem putare quam Argos.

152. Verum an caduceatorem Xerxes Argos miserit ad ea dicenda, et an Argivorum nuncii qui Susa ascenderunt, Artaxerxem de amicitia interrogaverint, pro comperto dicere non possum, nec ullam de his aliam ferre sententiam, nisi

ἐπίσταμαι δὲ τοσοῦτο, ὅτι εἰ πάντες ἄνθρωποι τὰ οἰκήϊα κακὰ ἐς μέσον συνενείκαιεν, ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισι, ἐγκύψαντες ἂν ἐς τὰ τῶν πέλας κακὰ, ἀσπασίως ἕκαστοι αὐτέων ἀποφεροίατο ὀπίσω τὰ ἐσενείκαντο. οὕτω δὴ οὐκ Ἀργείοισι αἴσχιστα πεποίηται. ἐγὼ δὲ ὀφείλω λέγειν τὰ λεγόμενα, πείθεσθαί γε μὴν οὐ παντάπασι ὀφείλω. καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα τὸν λόγον. ἐπεὶ καὶ ταῦτα λέγεται, ὡς ἄρα Ἀργεῖοι ἔσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, ἐπειδή σφι πρὸς τοὺς Λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἑστήκεε, πᾶν δὴ βουλόμενοί σφι εἶναι πρὸ τῆς παρεούσης λύπης. τὰ μὲν περὶ Ἀργείων εἴρηται.

ρνγ΄. Ἐς δὲ τὴν Σικελίην ἄλλοι τε ἀπί-

---

quam Argivi ipsi edunt. Id demum scio, si omnes homines qui domestica mala in medium contulissent, cum vicinis mutare volentes, mala vicinorum intuiti fuissent, libenter reportaturos rursus illorum singulos ea quæ ipsi attulissent. Ita non turpissime ab Argivis actum est. Ego verò quæ dicuntur dicere debeo, attamen non omnino omnibus credere: quod in universam historiam a me dictum sit. quoniam et hoc narratur Argivos exstitisse qui Persam in Græciam arcessiverint, posteaquam cum Lacedæmoniis male pugnassent, præ dolore præsenti quidvis præoptantes. Talia quidem de Argivis dicta sunt.

153. In Siciliam autem ad

κατο ἄγγελοι ἀπὸ τῶν συμμάχων συμμίξοντες Γέλωνι, καὶ δὴ καὶ ἀπὸ τῶν Λακεδαιμονίων Σύαγρος. τοῦ δὲ Γέλωνος τούτου πρόγονος, οἰκήτωρ ὁ ἐν Γέλῃ ἦν ἐκ νήσου Τήλου τῆς ἐπὶ Τριοπίῳ κειμένης· ὃς κτιζομένης Γέλης ὑπὸ Λινδίων τε τῶν ἐκ Ῥόδου, καὶ Ἀντιφήμου, οὐκ ἐλείφθη. ἀνὰ χρόνον δὲ αὐτοῦ οἱ ἀπόγονοι γενόμενοι, ἱροφάνται τῶν χθονίων θεῶν, διετέλεον ἐόντες, Τηλινέω ἑνός τευ τῶν προγόνων κτησαμένου τρόπῳ τοιῷδε. ἐς Μακτώριον πόλιν τὴν ὑπὲρ Γέλης οἰκημένην, ἔφυγον ἄνδρες Γελώων, ἑσσωθέντες στάσι. τούτους ὦν ὁ Τηλίνης κατήγαγε ἐς Γέλην, ἔχων οὐδεμίην ἀνδρῶν δύναμιν, ἀλλ' ἱρα τουτέων τῶν θεῶν. ὅθεν δὲ αὐτὰ ἔλαβε, ἢ αὐτὸς ἐκτήσατο, τοῦτο οὐκ ἔχω εἶπαι. τούτοισι δ' ὦν πίσυνος

---

agendum cum Gelone, tum alii legati a sociis iere, tum vero etiam a Lacedæmoniis Syagrus. Hujus Gelonis progenitor inhabitans Gelam erat, ex insula Telo quæ Triopio adjacet: qui dum Gela conderetur a Lindiis qui sunt e Rhodo, et Antiphemo, relictus non est. Interjecto autem tempore, posteri ejus dearum inferarum antistites esse perseveraverunt, Teline, uno ex majoribus consequuto hunc in modum: Viri Geloi in seditione inferiores, in Mactorium urbem sitam supra Gelam profugerunt: hos Telines Gelam reduxit nullis virorum copiis adjutus, sed harum dearum sacris: quæ unde acceperit, aut ipse possederit, id vero dicere non possum. His sacris fretus,

ἐὼν κατήγαγε, ἐπ᾽ ᾧ τε οἱ ἀπόγονοι αὐτοῦ ἱροφάνται τῶν θεῶν ἔσονται. θῶϋμά μοι ὦν καὶ τοῦτο γέγονε πρὸς τὰ πυνθάνομαι κατεργάσασθαι Τηλίνην ἔργον τοσοῦτον. τὰ τοιαῦτα γὰρ ἔργα οὐ πρὸς τοῦ ἅπαντος ἀνδρὸς νενόμικα γίνεσθαι, ἀλλὰ πρὸς ψυχῆς τε ἀγαθῆς, καὶ ῥώμης ἀνδρηΐης. ὁ δὲ λέγεται πρὸς τῆς Σικελίης τῶν οἰκητόρων τὰ ὑπεναντία τουτέων πεφυκέναι, θηλυδρίης τε καὶ μαλακώτερος ἀνήρ. οὕτω μὲν νυν ἐκτήσατο τοῦτο τὸ γέρας.

ρνδ΄, Κλεάνδρου δὲ τοῦ Παντάρεος τελευτήσαντος τὸν βίον, ὃς ἐτυράννευσε μὲν Γέλης ἑπτὰ ἔτεα, ἀπέθανε δὲ ὑπὸ Σαβύλλου ἀνδρὸς Γελώου, ἐνθαῦτα ἀναλαμβάνει τὴν μουναρχίην Ἱπποκράτης, Κλεάνδρου ἐὼν ἀδελφεός. ἔχοντος δὲ Ἱπποκράτεος τὴν τυραννίδα, ὁ Γέ-

---

reduxit illos, pactus, ut posteri sui illic deorum antistites forent. Admiratio igitur et mihi incessit ad ea, quod audio tantum opus Telinem effecisse: qualia opera non a quocunque viro effici opinor, sed ab eo qui sit bonæ mentis et virili robore. At ille fertur ab incolis Siciliæ contra fuisse ab natura comparatus, nempe et effeminatus ac mollior vir. Hunc in modum ille hoc decus adeptus est.

154. Cleandro autem Pantarei filio qui septem annos Gelæ tyrannide potitus est, vita functo, a Sabyllo autem viro Geloo fuit interfectus, ibi frater ejus Hippocrates suscepit impe-

λων ἐὼν Τηλίνεω τοῦ ἱροφάντεω ἀπόγονος, πολλῶν μετ' ἄλλων, καὶ Αἰνησιδήμου τοῦ Παταΐκου, ὃς ἦν δορυφόρος Ἱπποκράτεος, μετὰ δὲ οὐ πολλὸν χρόνον δι' ἀρετὴν ἀπεδέχθη πάσης τῆς ἵππου εἶναι ἵππαρχος. πολιορκέοντος γὰρ Ἱπποκράτεος Καλλιπολίτας τε καὶ Ναξίους, καὶ Ζαγκλαίους τε καὶ Λεοντίνους, καὶ πρὸς, Συρηκουσίους τε καὶ τῶν βαρβάρων συχνοὺς, ἀνὴρ ἐφαίνετο ἐν τούτοισι τοῖσι πολεμίοισι ἐὼν ὁ Γέλων λαμπρότατος. τῶν δὲ εἶπον πολίων, τουτέων, πλὴν Συρηκουσίων, οὐδεμίη πέφευγε δουλοσύνην πρὸς Ἱπποκράτεος. Συρηκουσίους δὲ Κορίνθιοί τε καὶ Κερκυραῖοι ἐρρύσαντο, μάχῃ ἑσσωθέντας ἐπὶ ποταμῷ Ἐλώρῳ. ἐρρύσαντο δὲ οὗτοι ἐπὶ τοῖσδε καταλλάξαντες, ἐπ' ᾧτε Ἱπποκράτεϊ Καμαρίναν Συρηκουσίους

---

rium. Quo tyrannidem obtinente, Gelon inter posteros Telinis vatis, cum aliis multis et Ænesidemo Pataici filio, qui erat satelles Hippocratis, non diu post ob virtutem declaratus est totius equitatus præfectus: nam quibus in bellis Hippocrates obsedit Callipolitanos et Naxios et Zanclaeos et Leontinos, atque insuper Syracusanos et permultos barbarorum, in iis bellis Gelon extitit vir clarissimus; adeo et nulla omnium quas retuli civitatum effugerit Hippocratis dominationem, præter Syracusanos: quos pugna ad flumen Elorum superatos Corinthii Corcyræique liberaverunt, his conciliantes conditionibus, atque hac lege, ut Syracusani Camarinam, quæ ipso-

παραδοῦναι. Συρηκουσίων δὲ ἦν Καμαρίνα τὠρχαῖον.

ρνέ. Ὡς δὲ καὶ Ἱπποκράτεα τυραννεύσαντα ἴσα ἔτεα τῷ ἀδελφεῷ Κλεάνδρῳ κατέλαβε ἀποθανεῖν πρὸς πόλι Ὕβλῃ, στρατευσάμενον ἐπὶ τοὺς Σικελοὺς, οὕτω δὴ ὁ Γέλων τῷ λόγῳ τιμωρέων τοῖσι Ἱπποκράτεος παισὶ Εὐκλείδῃ τε καὶ Κλεάνδρῳ, οὐ βουλομένων τῶν πολιητέων κατηκόων ἔτι εἶναι, τῷ ἔργῳ, ὡς ἐπεκράτησε μάχῃ τῶν Γελώων, ἦρχε αὐτὸς ἀποστερήσας τοὺς Ἱπποκράτεος παῖδας. μετὰ δὲ τοῦτο τὸ εὕρημα, τοὺς γαμόρους καλεομένους τῶν Συρηκουσίων, ἐκπεσόντας ὑπό τε τοῦ δήμου, καὶ τῶν σφετέρων δούλων, καλεομένων δὲ Κυλλυρίων, ὁ Γέλων καταγαγὼν τούτους ἐκ Κασμένης πόλιος ἐς τὰς Συρηκούσας, ἔσχε

---

rum jam olim fuerat, Hippocrati traderent.

155. Hippocrates autem quum totidem annos quot frater Cleander tyrannidem obtinuisset, illato Siculis bello, apud urbem Hyblam periit: ita Gelon per caussam tuendi liberos Hippocratis, Euclidem et Cleandrum, ubi cives, quod abnuerent dicto amplius audientes esse, prœlio vicit, re vera ipse Geloorum imperium adeptus est, liberis Hippocratis dominatu fraudatis. Post hoc commentum, Syracusanorum Gamoros, ut vocabantur, a plebe et servis suis qui Cyllyrii nominabantur ejectos, in patriam ex urbe Casmena reducendo potitus etiam est ipsis Syracusis, nam ei venienti plebs Syracusa-

καὶ ταύτας. ὁ γὰρ δῆμος ὁ τῶν Συρηκουσίων ἐπιόντι Γέλωνι παραδιδοῖ τὴν πόλιν καὶ ἑωϋτόν.

ρνς´. Ὁ δὲ, ἐπεί τε παρέλαβε τὰς Συρηκούσας, Γέλης μὲν ἐπικρατέων, λόγον ἐλάσσω ἐποιέετο, ἐπιτρέψας αὐτὴν Ἱέρωνι ἀδελφεῷ ἑωϋτοῦ· ὁ δὲ τὰς Συρηκούσας ἐκράτυνε, καὶ ἔσαν ἅπαντα αἱ Συρήκουσαι. αἱ δὲ παραυτίκ' ἀνά τ' ἔδραμον καὶ ἔβλαστον. τοῦτο μὲν γὰρ, Καμαριναίους ἅπαντας ἐς τὰς Συρηκούσας ἀγαγὼν, πολιήτας ἐποίησε, Καμαρίνης δὲ τὸ ἄστυ κατέσκαψε· τοῦτο δὲ, Γελώων ὑπερημίσεας τῶν ἀστῶν τὠϋτὸ τοῖσι Καμαριναίοισι ἐποίησε. Μεγαρέας τε τοὺς ἐν Σικελίῃ, ὡς πολιορκεόμενοι ἐς ὁμολογίην προσεχώρησαν, τοὺς μὲν αὐτέων παχέας, ἀειραμένους τε πόλεμον αὐτῷ, καὶ προσδοκέοντας ἀπολέεσθαι διὰ τοῦτο, ἄγων ἐς τὰς Συρηκούσας

---

na et urbem et se ipsam tradidit.

156. Quum Gelon ubi accepit, Gelam quam tenebat minoris faciens, Hieroni fratri demandavit, sibique Syracusas habuit, et quidem omnia erant Syracusæ, ideoque ea civitas confestim convaluit ac floruit; partim deductis eo Camarinæis omnibus, quos cives fecit, quum Camarinam everteret; partim dimidio et eo amplius Geloorum perinde usus ut Camarinæis. Necnon Megarensium qui sunt in Sicilia, quum obsessi ad deditionem venissent, locupletes quoque, qui et bellum ei intulerant, et ob id se perditum iri putabant, Syracusas traducens,

πολιήτας ἐποίησε· τὸν δὲ δῆμον τῶν Μεγαρέων, οὐκ ἐόντα μεταίτιον τοῦ πολέμου τούτου, οὐδὲ προσδεκόμενον κακὸν οὐδὲν πείσεσθαι, ἀγαγὼν καὶ τούτους ἐς τὰς Συρηκούσας, ἀπέδοτο ἐπ' ἐξαγωγῇ ἐκ Σικελίης. τὠϋτὸ δὲ τοῦτο καὶ Εὐβοέας τοὺς ἐν Σικελίῃ ἐποίησε διακρίνας. ἐποίεε δὲ ταῦτα τούτους ἀμφοτέρους, νομίσας δῆμον εἶναι συνοίκημα ἀχαριτώτατον. τοιούτῳ μὲν τρόπῳ τύραννος ἐγεγόνεε μέγας ὁ Γέλων.

ρνζʹ. Τότε δ' ὡς οἱ ἄγγελοι τῶν Ἑλλήνων ἀπίκατο ἐς τὰς Συρηκούσας, ἐλθόντες αὐτῷ ἐς λόγους, ἔλεγον τάδε, "Ἔπεμψαν ἡμέας Λακεδαιμόνιοι, καὶ Ἀθηναῖοι "καὶ οἱ τούτων σύμμαχοι, παραλαμψομένους σε πρὸς τὸν βάρβαρον τὸν ἐπιόντα

---

etiam cives fecit. at plebem Megarensem, quæ belli movendi fuerat expers, quæque nihil mali se passuram expectabat, Syracusas adductam venundedit, ea conditione, ut ex Sicilia exportaretur. Idem hoc fecit Eubœensibus qui sunt in Sicilia, postquam distinxisset. Hoc autem ideo de utrisque statuit quod arbitraretur contubernium plebis rem esse moletissimam. Ea ratione magnus tyrannus effectus est Gelon.

157. Ad quem legati Græcorum, posteaquam Syracusas venerunt et admitti contigit, ita loquuti sunt; Lacedæmonii pariter et Athenienses eorumque socii nos misere ad te in societatem assumendum adversus barbarum; nam pror-

" ἐπὶ τὴν Ἑλλάδα. πάντως γάρ κου πυνθάνεαι, ὅτι Πέρσης ἀνὴρ μέλλει, ζεύξας τὸν Ἑλλήσποντον, καὶ ἐπάγων πάντα τὸν ἠῷον στρατὸν ἐκ τῆς Ἀσίης, στρατηλατήσειν ἐπὶ τὴν Ἑλλάδα· πρόσχημα μὲν ποιεόμενος ὡς ἐπ' Ἀθήνας ἐλαύνει, ἐν νόῳ δὲ ἔχων πᾶσαν τὴν Ἑλλάδα ὑπ' ἑωϋτῷ ποιήσασθαι. σὺ δὲ δυνάμιός τε ἥκεις μεγάλης, καὶ μοῖρά τοι τῆς Ἑλλάδος οὐκ ἐλαχίστη μέτα ἄρχοντί γε Σικελίης· βοήθει τε τοῖσι ἐλευθεροῦσι τὴν Ἑλλάδα, καὶ συνελευθέρου. ἀλὴς μὲν γὰρ γενομένη πᾶσα ἡ Ἑλλὰς, χεὶρ μεγάλη συνάγεται, καὶ ἀξιόμαχοι γινόμεθα τοῖσι ἐπιοῦσι· ἢν δὲ ἡμέων οἱ μὲν καταπροδιδῶσι, οἱ δὲ μὴ θέλωσι τιμωρέειν, τὸ δὲ ὑγιαῖνον τῆς Ἑλλάδος ᾖ ὀλίγον, τοῦ-

---

sus audisti hunc irruentem in Græciam, ut vir Persa juncto pontibus Hellesponto, secum omnes orientis ex Asia copias ducens, bellum inferat Græciæ; titulo quidem utens belli Athenis inferendi, sed in animo habens omnem Græciam redigere in suam potestatem. Tu igitur, cui magna potentia adest nec minima Græciæ portio, quum sis Siciliæ princeps, ferto opem iis qui Græciam a servitute vindicant, eamque una cum illis liberato. Coacta enim cuncta Græcia, constabit magna manus, et ad pugnam pares erimus invadentibus nos: quod si e nobis alii proditores fuerint, alii nolint adjuvare, quod sincerum supererit Græciæ, exiguum sit;

" το δὴ ἤδη δεινὸν γίνεται, μὴ πέσῃ πᾶσα
" ἡ Ἑλλάς. μὴ γὰρ ἐλπίσῃς, ἢν ἡμέας κα-
" ταστρέψηται ὁ Πέρσης μάχῃ κρατήσας,
" ὡς οὐκὶ ἥξει παρὰ σέ γε, ἀλλὰ πρὸ τούτου
" φύλαξαι. βοηθέων γὰρ ἡμῖν σεωϋτῷ τι-
" μωρέεις· τῷ δὲ εὖ βουλευθέντι πρήγματι
" τελευτὴ ὡς τοεπίπαν χρηστὴ ἐθέλει ἐπι-
" γίνεσθαι·" οἱ μὲν ταῦτα ἔλεγον.

ρνη'. Γέλων δὲ πολλὸς ἐνέκειτο λέγων τοιάδε, " Ἄνδρες Ἕλληνες, λόγον ἔχοντες πλε-
" ονέκτην, ἐτολμήσατε ἐμὲ σύμμαχον ἐπὶ
" τὸν βάρβαρον παρακαλέοντες ἐλθεῖν· αὐτοὶ
" δὲ, ἐμεῦ πρότερον δεηθέντος βαρβαρικοῦ
" στρατοῦ συνεπάψασθαι, ὅτε μοι πρὸς Καρ-
" χηδονίους νεῖκος συνῆπτο, ἐπισκήπτοντός τε
" τὸν Δωριέος τοῦ Ἀναξανδρίδεω πρὸς Ἐγε-

---

jam hoc periculum est ne omnis Græcia pessum eat. Neque enim speraveris Persam, si nos prœlio superaverit, ad te non esse venturum: quinimo hoc ante caveris: nobis namque opem ferendo, temetipsum tutaris. Rei bono consilio gestæ salubris plerumque vult adesse exitus. Hæc legati dixere.

158. Sed Gelon vehemens erat in urgendo, utens hac oratione; Viri Græci, insolentem habetis orationem, qui ausi estis me adire, hortantes ad ineundam adversus barbarum societatem: at vos ipsi quum orarem prius adversus exercitum barbaricum juvare bellum, quod mihi erat cum Carthaginensibus; etiam quum obtestarer ut ultio necis Doriei Anaxandridæ filii de Ægestanis exigeretur; quin et

“ σταίων φόνον ἐκπρήξασθαι, ὑποτείνοντός τε
“ τὰ ἐμπόρια συνελευθεροῦν, ἀπ' ὧν ὑμῖν με-
“ γάλαι ὠφελίαι τε καὶ ἐπαυρέσιες γεγόνα-
“ σι· οὔτε ἐμεῦ εἵνεκα ἤλθετε βοηθήσοντες,
“ οὔτε τὸν Δωριέος φόνον ἐκπρηξόμενοι· τὸ δὲ
“ κατ' ὑμέας, τάδε πάντα ὑπὸ βαρβάροισι
“ νέμεται· ἀλλ' εὖ γὰρ ἡμῖν καὶ ἐπὶ τὸ
“ ἄμεινον κατέστη. νῦν δὲ ἐπειδὴ περιελήλυθε
“ ὁ πόλεμος καὶ ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ
“ Γέλωνος μνῆστις γέγονε. ἀτιμίης δὲ πρὸς
“ ὑμέων κυρήσας, οὐκ ὁμοιώσομαι ὑμῖν, ἀλλ'
“ ἕτοιμός εἰμι βοηθέειν, παρεχόμενος διηκο-
“ σίας τε τριήρεας, καὶ δισμυρίους ὁπλίτας,
“ καὶ δισχιλίην ἵππον, καὶ δισχιλίους τοξό-
“ τας, καὶ δισχιλίους σφενδονήτας, καὶ δισ-
“ χιλίους ἱπποδρόμους ψιλούς. σῖτόν τε ἀπά-

---

quum offerrem me adjutorem ad liberanda emporia, unde vobis magna emolumenta atque commoditates provenerant, vos neque mei causa auxilii, neque ultionis de nece Doriei exigendæ venire voluistis. Itaque quod ad vos pertinet, omnia hæc a barbaris obtinentur. Verum nobis hæc bene et in melius reciderunt: nunc autem postquam circumiit bellum, atque vos attigit, ita demum Gelonis memoria fit. Sed in contemptum apud vos lapsus, non ero vestri similis; sed paratus sum ferre opem collaturus ducentas triremes, et viginti millia gravis armaturæ, ac duo millia equi-

" σῃ τῇ Ἑλλήνων στρατιῇ, ἔστ' ἂν διαπο-
" λεμήσωμεν, ὑποδέκομαι παρέξειν. ἐπὶ δὲ
" λόγῳ τοιῷδε τάδε ὑπισχομαι, ἐπ' ᾧ στρα-
" τηγός τε καὶ ἡγεμὼν τῶν Ἑλλήνων ἔσομαι
" πρὸς τὸν βάρβαρον· ἐπ' ἄλλῳ δὲ λόγῳ
" οὔτ' ἂν αὐτὸς ἔλθοιμι, οὔτ' ἂν ἄλλους
" πέμψαιμι."

ρνθ'. Ταῦτα ἀκούσας οὔτε ἠνέσχετο ὁ Σύαγρος, εἶπέ τε τάδε, "Ἦ κε μέγ' οἰμώ-
" ξειεν ὁ Πελοπίδης Ἀγαμέμνων, πυθόμενος
" Σπαρτιήτας τὴν ἡγεμονίην ἀπαραιρεῖσθαι
" ὑπὸ Γέλωνός τε καὶ Συρηκουσίων. ἀλλὰ
" τούτου μὲν τοῦ λόγου μηκέτι μνησθῇς, ὅκως
" τὴν ἡγεμονίην τοι παραδώσομεν. ἀλλ' εἰ
" μὲν βούλεαι βοηθέειν τῇ Ἑλλάδι, ἴσθι
" ἀρξόμενος ὑπὸ Λακεδαιμονίων. εἰ δ' ἄρα

---

tum, totidem sagittariorum, totidem funditorum totidemque cursores equestres leviter armatos. Sed et rem frumentariam cunctis Græciæ copiis, donec fuerit debellatum, suppeditaturum recipio. Cæterum ea lege hæc polliceor, ut ego sim adversus barbarum Græcorum dux et imperator: aliter neque ipse venirem, neque alios mitterem.

159. Ea Syagrus audiens, non tulit; sed, O quam ejularet, inquit, Pelopides Agamemnon, si audiret Spartiatas imperio spoliatos esse ab Gelone atque Syracusanis. Tu vero ne feceris hujus rei mentionem amplius, ut nos tibi tradamus

"μὴ δικαιοῖς ἄρχεσθαι, σὺ δὲ μὴ βοη-
"θέειν."

ρξ'. Πρὸς ταῦτα ὁ Γέλων, ἐπειδὴ ὥρα ἀπεστραμμένους τοὺς λόγους τοῦ Συάγρου, τὸν τελευταῖόν σφι τόνδε ἐξέφηνε λόγον. "Ὦ "ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀνθρώ-"πῳ, φιλέει ἐπανάγειν τὸν θυμόν. σὺ μέντοι "ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ, οὔ "με ἔπεισας ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσ-"θαι. ὅκου δὲ ὑμεῖς οὕτω περιέχεσθε τῆς "ἡγεμονίης, οἰκὸς καὶ ἐμὲ μᾶλλον ὑμέων "περιέχεσθαι, στρατιῆς τε ἐόντα πολλαπλα-"σίης ἡγεμόνα, καὶ νηῶν πολὺ πλεύνων. "ἀλλ' ἐπεί τε ὑμῖν ὁ λόγος οὕτω προσάντης "κατίσταται, ἡμεῖς τι ὑπείξομεν τοῦ ἀρ-"χαίου λόγου. εἰ τοῦ μὲν πεζοῦ ὑμεῖς ἡγέ-

---

ducatum; sed si tibi animus est opem ferendi Græciæ, esto dicto audiens Lacedæmoniis: si dedignaris mandari, opem ne feras.

160. Ad hæc Gelon ubi vidit verba Syagri aversa, hanc ad extremum protulit orationem, Hospes Spartiata, contumeliæ homini immissæ solent irritare indignationem: tu tamen contumelias in verbis inve-hens, non induxisti me, ut vicem meam indecorus sim. Sed ubi vos ita ducatum amplectimini, me magis quam vos decet illum amplecti, qui multo majorum copiarum imperator sum ac plurium navium. Ceterum, quoniam vobis oratio ista tam difficilis accidit, nos aliquantum a superiore oratione decedemus. Si vos terrestribus copiis præfueritis, ego

" οισθε, τοῦ δὲ ναυτικοῦ ἐγώ· εἰ δὲ ὑμῖν
" ἡδονὴ τοῦ κατὰ θάλασσαν ἡγεμονεύειν, τοῦ
" πεζοῦ ἐγὼ θέλω. καὶ ἢ τούτοισι ὑμέας
" χρεών ἐστι ἀρέσκεσθαι, ἢ ἀπιέναι συμμά-
" χων τοιῶνδε ἐρήμους." Γέλων μὲν δὴ ταῦ-
τα προετείνετο.

ρξα΄. Φθάσας δὲ ὁ Ἀθηναίων ἄγγελος τὸν Λακεδαιμονίων, ἀμείβετό μιν τοῖσδε, "Ὦ βασιλεῦ Συρηκουσίων, οὐκ ἡγεμόνος
" δεομένη ἡ Ἑλλὰς ἀπέπεμψεν ἡμέας πρὸς
" σὲ, ἀλλὰ στρατιῆς. σὺ δὲ ὅκως μὲν στρα-
" τιὴν πέμψῃς μὴ ἡγεύμενος τῆς Ἑλλάδος,
" οὐ προφαίνεις· ὡς δὲ στρατηγήσεις αὐτῆς,
" γλίχεαι. ὅσον μέν νυν παντὸς τοῦ Ἑλλή-
" νων στρατοῦ ἐδέου ἡγέεσθαι, ἐξήρκει ἡμῖν
" τοῖσι Ἀθηναίοισι ἡσυχίην ἄγειν, ἐπιστα-

---

nauticis præero: sin vos mari imperitare juvat, ego terrestribus volo. Ex quo oportet vos aut ad alterutram harum conditionum accedere, aut tantis sociis destitutos abscedere. Hanc Gelon conditionem offerebat.

161. Cui legatus Atheniensis, Lacedæmoniorum legatum antevertens, ita respondit, Rex Syracusanorum, Græcia nos ad te misit, non imperatoris indiga, sed exercitus: tu vero præ te fers non missurum te exercitum, nisi sis Græciæ dux; videlicet ut illius exercitui imperes affectas. Itaque quatenus quidem cuncto Græcorum exercitui præesse postulabas, sufficiebat nobis Atheniensibus silentium agere, intelligentibus

" μένοισι ὡς ὁ Λάκων ἱκανός τοι ἔμελλε
" ἔσεσθαι καὶ ὑπὲρ ἀμφοτέρων ἀπολογεύ-
" μενος. ἐπεί τε δὲ ἁπάσης ἀπελαυνόμενος,
" δέεαι τῆς ναυτικῆς ἄρχειν, οὕτω ἔχει τοι·
" οὐδ' ἢν ὁ Λάκων ἐπίῃ τοι ἄρχειν αὐτῆς,
" ἡμεῖς ἐπήσομεν· ἡμετέρη γάρ ἐστι αὕτη γε
" μὴ αὐτέων βουλομένων Λακεδαιμονίων. τού-
" τοισι μὲν ὦν ἡγέεσθαι βουλομένοισι οὐκ
" ἀντιτείνομεν, ἄλλω δὲ παρήσομεν οὐδενὶ
" ναυαρχέειν. μάτην γὰρ ἂν ὧδε πάραλον
" Ἑλλήνων στρατὸν πλεῖστον εἴημεν ἐκτημέ-
" νοι, εἰ Συρηκουσίοισι ἐόντες Ἀθηναῖοι συγ-
" χωρήσωμεν τῆς ἡγεμονίης, ἀρχαιότατον
" μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ
" μετανάσται Ἑλλήνων. τῶν καὶ Ὅμηρος ὁ
" ἐποποιὸς ἄνδρα ἄριστον ἔφησε ἐς Ἴλιον ἀπι-

Laconem fore idoneum ad reddendam de utrisque rationem: quoniam vero dejectus ab imperio summo omnium poscis ut imperio classis præsis, ita habeto: nos, etiam ut Lacon permittat, non esse permissuros præesse te classi: nostrum enim munus hoc est, nisi Lacedæmonii id velint: quibus præesse classi volentibus non contradicimus, alteri vero concederemus nemini: nam frustra maritimas copias Græcorum plurimas possideremus, si Syracusanis imperio cederemus, qui sumus Athenienses, antiquissimæ originis gens, solique Græcorum qui nunquam solum vertimus: e quibus virum instruendo ornandoque exercitu aptissimum Homerus etiam versificator ait

" κέσθαι, τάξαι τε καὶ διακοσμῆσαι στρα-
" τόν. οὕτω οὐκ ὄνειδος ἡμῖν ἐστι οὐδὲν λέ-
" γειν ταῦτα."

ρξϐ'. Ἀμείϐετο Γέλων τοῖσδε, " Ξεῖνε " Ἀθηναῖε, ὑμεῖς οἴκατε τοὺς μὲν ἄρχοντας " ἔχειν, τοὺς δὲ ἀρξομένους οὐκ ἕξειν. ἐπεὶ " τοίνυν οὐδὲν ἐπιέντες ἔχειν τὸ πᾶν ἐθέλετε, " οὐκ ἂν φθάνοιτε τὴν ταχίστην ὀπίσω ἀπαλ- " λασσόμενοι, καὶ ἀγγέλλοντες τῇ Ἑλλάδι " ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραί- " ρηται." οὗτος δὲ ὁ νόος τοῦδε τοῦ ῥήματος, τὸ ἐθέλει λέγειν. δῆλα γὰρ ὡς ἐν τῷ ἐνιαυτῷ ἐστὶ τὸ ἔαρ δοκιμώτατον· τῆς δὲ τῶν Ἑλλήνων στρατιῆς, τὴν ἑωϋτοῦ στρατιήν. στερισκομένην ὦν τὴν Ἑλλάδα τῆς ἑωϋτοῦ συμμαχίης, εἴκαζε ὡς εἰ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξαραιρημένον εἴη.

Ilium venisse. Adeo non est dedecus nobis ista commemorare.

162. His Gelon ista respondit, Hospes Atheniensis, vos qui præsint habere videmini; quibus præsint nequaquam. Quocirca quum nihil cedentes totum obtinere velitis, quam celerrime hinc retro abscedatis, renunciaturi Græciæ, ver ex anno illi exemptum esse. Cujus dicti sensus hic est, quem vult dicere; constat enim probatissimam anni partem esse ver; talem esse suum exercitum in exercitu Græcorum. Igitur si Græcia privaretur sua societate, quasi quoddam ver ex anno sublatum esse conjectabat.

ρξγʹ. Οἱ μὲν δὴ τῶν Ἑλλήνων ἄγγελοι τοσαῦτα τῷ Γέλωνι χρηματισάμενοι ἀπέπλεον. Γέλων δὲ πρὸς ταῦτα δείσας μὲν περὶ τοῖσι Ἕλλησι μὴ οὐ δυνέωνται τὸν βάρβαρον ὑπερβαλέσθαι, δεινὸν δὲ καὶ οὐκ ἀνασχετὸν ποιησάμενος, ἐλθὼν ἐς Πελοπόννησον ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων, ἐὼν Σικελίης τύραννος, ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε, ὁ δὲ ἄλλης εἴχετο. ἐπεί τε γὰρ τάχιστα ἐπύθετο τὸν Πέρσην διαβεβηκότα τὸν Ἑλλήσποντον, πέμπει πεντηκοντέροισι τρισὶ Κάδμον τὸν Σκύθεω, ἄνδρα Κῷον, ἐς Δελφοὺς, ἔχοντα χρήματα πολλὰ, καὶ φιλίους λόγους, καραδοκήσοντα τὴν μάχην, ᾗ πεσέεται· καὶ ἢν μὲν ὁ βάρβαρος νικᾷ, τά τε χρήματα αὐτῷ διδόναι, καὶ γῆν τε καὶ ὕδωρ, τῶν ἄρχει

---

163. Hoc responso Gelonis accepto legati Græcorum abnavigarunt. Post hæc Gelon timens quidem ille Græcis, ne superare barbarum non possent, et tamen indignum atque intolerandum sibi ratus, ut profectus in Peloponnesum subesset Lacedæmoniis, qui Siciliæ tyrannus esset, omissa hac via aliam iniit. Nam simulatque audiit Persam transmisisse Hellespontum, Delphos misit cum tribus navibus quinquagenum remorum Cadmum Scythæ filium Coum, multa cum pecunia ac placidis verbis, ad observandum quo casura esset pugna: ut si barbarus vinceret, ei pecuniam traderet terramque et

ὁ Γέλων· ἢν δὲ οἱ Ἕλληνες, ὀπίσω ἀπάγειν.

ρξδ'. Ὁ δὲ Κάδμος οὗτος, πρότερον τουτέων παραδεξάμενος παρὰ πατρὸς τὴν τυραννίδα Κώων, εὖ βεβηκυῖαν, ἑκών τε εἶναι, καὶ δεινοῦ ἐπιόντος οὐδενὸς, ἀλλ' ἀπὸ δικαιοσύνης, ἐς μέσον Κώοισι καταθεὶς τὴν ἀρχὴν, οἴχετο ἐς Σικελίην. ἔνθα μετὰ Σαμίων ἔσχε τε καὶ κατοίκησε πόλιν Ζάγκλην, τὴν ἐς Μεσσήνην μεταβαλοῦσαν τὸ οὔνομα. τοῦτον δὴ ὦν ὁ Γέλων τὸν Κάδμον καὶ τοιούτῳ τρόπῳ ἀπικόμενον, διὰ δικαιοσύνην τήν οἱ αὐτὸς ἄλλην συνῄδεε ἐοῦσαν, ἔπεμπε· ὃς ἐπὶ τοῖσι ἄλλοισι δικαίοισι τοῖσι ἐξ ἑωϋτοῦ ἐργασμένοισι, καὶ τόδε οὐκ ἐλάχιστον τουτέων ἐλείπετο. κρατήσας γὰρ μεγάλων χρημάτων, τῶν οἱ

---

aquam eorum locorum quibus Gelon imperaret; sin vincerent Græci, retro navigaret.

164. Hic Cadmus ante id tempus, quum tyrannidem Coorum a patre accepisset bene cedentem et nullo molesto incurrente, sed sua sponte ob justitiam, in medium Cois reddito imperio, in Siciliam abiit: ubi una cum Samiis tenuit atque incoluit urbem Zanclam, cujus nomen in Messanam mutatum est. Hunc igitur Cadmum, hoc modo accedentem, Gelon ob justitiam, quam illi ex aliis rebus adesse noverat, misit: qui homo præter alia quæ edidit opera justa, hoc non minimum illorum reliquit; quod tantum pecuniæ a Gelone commissum intervertere quum pos-

Γέλων ἐπετράπετο, παρεὸν κατασχέσθαι, οὐκ ἐθέλησε· ἀλλ' ἐπεὶ οἱ Ἕλληνες ἐπεκράτησαν τῇ ναυμαχίῃ, καὶ Ξέρξης οἰχώκεε ἀπελαύνων, καὶ δὴ καὶ ἐκεῖνος ἀπίκετο ἐς τὴν Σικελίην, ἀπὸ πάντα τὰ χρήματα ἄγων.

ρξε'. Λέγεται δὲ καὶ τάδε ὑπὸ τῶν ἐν Σικελίῃ οἰκημένων, ὡς ὅμως καὶ μέλλων ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ὁ Γέλων, ἐβοήθησε ἂν τοῖσι Ἕλλησι, εἰ μὴ ὑπὸ Θήρωνος τοῦ Αἰνησιδήμου Ἀκραγαντίνων μουνάρχου ἐξελαθεὶς ἐξ Ἱμέρης Τήριλλος ὁ Κρινίππου, τύραννος ἐὼν Ἱμέρης, ἐπῆγε ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον, Φοινίκων, καὶ Λιβύων, καὶ Ἰβήρων, καὶ Λιγύων, καὶ Ἑλισύκων, καὶ Σαρδονίων, καὶ Κυρνίων τριήκοντα μυριάδας, καὶ στρατηγὸν αὐτέων, Ἀμίλκαν τὸν Ἄννωνος, Καρχηδονίων ἐόντα βασιλῆα. κατὰ ξει-

---

set, noluit, sed posteaquam Græci pugna navali superiores extitere, et Xerxes cum exercitu abiit, ipse etiam in Siciliam rediit cum omni pecunia.

165. Fertur autem et hoc ab iis, qui Siciliam incolunt, Gelonem inducto ad obtemperandum Lacedæmoniis animo, fuisse laturum Græcis auxilia, nisi Terillus Crinippi filius ejectus ex Himera, ubi erat tyrannus, a Theròne Ænesidemi filio Agrigentinorum monarcho, contra ipsum adduxisset sub id tempus Phœnicum et Afrorum et Iberorum et Ligurum et Helisycorum et Sardonum et Cyrniorum trecenta millia, duce eorum Amilcare Anno-

νίην τε τὴν ἑωϋτοῦ ὁ Τήριλλος ἀναγνώσας, καί μάλιστα διὰ τὴν Ἀναξίλεω τοῦ Κρητίνεω προθυμίην, ὃς Ῥηγίου ἐὼν τύραννος, τὰ ἑωϋτοῦ τέκνα δοὺς ὁμήρους Ἀμίλκα, ἐπῆγέ μιν ἐπὶ τὴν Σικελίην, τιμωρέων τῷ πενθερῷ. Τηρίλλου γὰρ εἶχε θυγατέρα Ἀναξίλεως, τῇ οὔνομα ἦν Κυδίππη. οὕτω δὴ οὐκ οἷόν τε γενόμενον βοηθέειν τὸν Γέλωνα τοῖσι Ἕλλησι, ἀποπέμπειν ἐς Δελφοὺς τὰ χρήματα.

ρξϛʹ. Πρὸς δὲ, καὶ τάδε λέγουσι, ὡς συνέβη τῆς αὐτῆς ἡμέρης ἔν τε τῇ Σικελίῃ Γέλωνα καὶ Θήρωνα νικᾷν Ἀμίλκαν τὸν Καρχηδόνιον, καὶ ἐν Σαλαμῖνι τοὺς Ἕλληνας τὸν Πέρσην. τὸν δὲ Ἀμίλκαν, Καρχηδόνιον ἐόντα πρὸς πατρὸς, μητρόθεν δὲ Συρηκούσιον, βασιλεύσαντά τε κατ' ἀνδραγαθίην Καρχηδο-

---

nis filio Carthaginensium rege: quem Terillus conciliatum et hospitii necessitudine, et præcipue prompta animi voluntate Anaxilai Cretinei filii, Rhegini tyranni, qui filios suos Amilcari obsides dedit, induxit in Siciliam ulciscendi soceri caussa: habebat enim Anaxilaus in matrimonio Terilli filiam, nomine Cydippam. Ita Gelonem, quum nequiret auxilia Græcis ferre, Delphos misisse pecuniam.

166. Præterea aiunt iidem contigisse, ut eodem die Gelon et Theron Amilcarem Carthaginensem in Sicilia superarint, quo Græci in Salamine Persam. Quinetiam Amilcarem, qui a patre quidem Carthaginensis, a matre vero Syracusanus erat, et ob virtutem rex Cartha-

νίων, ὡς ἡ συμβολή τε ἐγένετο, καὶ ὡς ἑσσοῦτο τῇ μάχῃ, ἀφανισθῆναι πυνθάνομαι· οὔτε γὰρ ζῶντα, οὔτε ἀποθανόντα φανῆναι οὐδαμοῦ γῆς· τὸ πᾶν γὰρ ἐπεξελθεῖν διζήμενον Γέλωνα.

ρξζ΄. Ἔστι δὲ ὑπ᾽ αὐτέων Καρχηδονίων ὅδε ὁ λόγος λεγόμενος, εἰκόνι χρεομένων, ὡς οἱ μὲν βάρβαροι τοῖσι Ἕλλησι ἐν τῇ Σικελίῃ ἐμάχοντο, ἐξ ἠοῦς ἀρξάμενοι μέχρι δειλῆς ὀψίης· ἐπὶ τοσοῦτο γὰρ λέγεται ἑλκῦσαι τὴν σύστασιν. ὁ δὲ Ἀμίλκας ἐν τούτῳ τῷ χρόνῳ μένων ἐν τῷ στρατοπέδῳ, ἐθύετο καὶ ἐκαλλιερέετο ἐπὶ πυρῆς μεγάλης σώματα ὅλα καταγίζων· ἰδὼν δὲ τροπὴν τῶν ἑωϋτοῦ γινομένην, ὡς ἔτυχε ἐπισπένδων τοῖσι ἱροῖσι, ὦσε ἑωϋτὸν ἐς τὸ πῦρ. οὕτω δὴ κατακαυθέντα

ginensium, quum conflixisset, prœlio victum, e conspectu fuisse ablatum audio, nec usquam gentium aut vivum aut mortuum comparuisse: omnia enim Gelonem indagando lustravisse.

167. Apud ipsos autem Carthaginenses illius imaginem servantes, hæc fama est, dum barbari cum Græcis in Sicilia ab aurora ad crepusculum pugnarent, tamdiu enim traxisse dicitur conflictus, interea Amilcarem in castris manentem sacrificasse atque litasse in ingenti pyra integra corpora adolentem: sed quum conspiceret suos in fugam versos, ut erat adfundens libamenta sacris, sese in ignem misisse, atque ita combustum e conspectu sublatum.

ἀφανισθῆναι. ἀφανισθέντι δὲ Ἀμίλκᾳ τρόπῳ εἴτε τοιούτῳ, ὡς Φοίνικες λέγουσι, εἴτε ἑτέρῳ, οἱ Καρχηδόνιοι τοῦτο μὲν, οἱ θύουσι, τοῦτο δὲ, μνήματα ἐποίησαν ἐν πάσῃσι τῇσι πόλισι τῶν ἀποικίδων· ἐν αὐτῇ τε μέγιστον Καρχηδόνι. Τὰ μὲν ἀπὸ Σικελίης, τοσαῦτα.

ρξή. Κερκυραῖοι δὲ τάδε ὑποκρινάμενοι τοῖσι ἀγγέλοισι, τοιάδε ἐποίησαν· καὶ γὰρ τούτους παρελάμβανον οἱ αὐτοὶ οἵπερ καὶ ἐς Σικελίην ἀπίκατο, λέγοντες τοὺς αὐτοὺς λόγους τοὺς καὶ πρὸς Γέλωνα ἔλεγον. οἱ δὲ παραυτίκα μὲν ὑπίσχοντο πέμψειν τε καὶ ἀμυνέειν, φράζοντες ὡς οὔ σφι περιοπτέη ἐστὶ ἡ Ἑλλὰς ἀπολλυμένη· ἢν γὰρ σφαλῇ, σφεῖς γε οὐδὲν ἄλλο ἢ δουλεύσουσι τῇ πρώτῃ τῶν

Cui, sive hoc modo, ut Phœnices, sive alio, Carthaginenses, ex oculis ablato, partim sacrificant, partim extruxerunt monumenta in omnibus coloniarum urbibus et præcipuum in ipsa Carthagine. Hactenus quæ ad Siciliam attinent.

168. Corcyræi autem aliud legatis responderunt, aliud fecerunt: nam quum eos iidem qui in Siciliam ierant, adsumerent, iisdem quibus Gelonem verbis alloquuti, hi vero polliciti sunt confestim se auxilia missuros ac præsidio futuros, negantes sibi Græciam pereuntem neglectui habendam: quæ si collaberetur, nihil aliud sibi superesse, quam ut primo quoque die servirent; ideoque sibi, quoad maxime possent, il-

ἡμερέων, ἀλλὰ τιμωρητέον εἴη ἐς τὸ δυνατώτατον. ὑπεκρίναντο μὲν οὕτω εὐπρόσωπα. ἐπεὶ δὲ ἔδει βοηθέειν, ἄλλα νοεῦντες, ἐπλήρωσαν νέας ἑξήκοντα· μόγις δὲ ἀναχθέντες, προσέμιξαν τῇ Πελοποννήσῳ, καὶ περὶ Πύλον καὶ Ταίναρον γῆς τῆς Λακεδαιμονίων ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι τὸν πόλεμον, ᾗ πεσέεται· ἀελπτέοντες μὲν τοὺς Ἕλληνας ὑπερβαλέεσθαι, δοκέοντες δὲ τὸν Πέρσην, κατακρατήσαντα πολλὸν, ἄρξειν πάσης τῆς Ἑλλάδος. ἐποιέευν ὦν ἐπίτηδες, ἵνα ἔχωσι πρὸς τὸν Πέρσην τοιάδε, "Ὦ βασι-"λεῦ, ἡμεῖς, παραλαμβανόντων τῶν Ἑλλήνων "ἡμέας ἐς τὸν πόλεμον τοῦτον, ἔχοντες δύ-"ναμιν οὐκ ἐλαχίστην, οὐδὲ νέας ἐλαχίστας "παρασχόντες ἂν, ἀλλὰ πλείστας μετά

---

lam esse adjuvandam. Hæc illi aspectu speciosa responderunt: at ubi ferre opem oportuit, aliud habentes in animo, sexaginta naves instruxere: ægreque in altum evecti, Peloponneso applicuere, ac circa Pylon ac Tænaron oræ Lacedæmoniorum naves in salo statuerunt; observantes et ipsi bellum quo caderet, desperantes quidem fore ut Græci superarent, sed opinantes Persam multo superiorem universæ Græciæ imperaturum. Itaque studio et astu id egerunt, ut hæc ad Persam haberent. Adsciscentibus nos Græcis ad hoc bellum, O rex, qui copias habemus non sane minimas et naves præbemus non minimas, sed plurimas secundum Athenienses, tameu

" γε Ἀθηναίους, οὐκ ἐθελήσαμέν τοι ἐναν-
" τιοῦσθαι, οὐδέ τι ἀποθύμιον ποιῆσαι." τοιαῦτα λέγοντες, ἤλπιζον πλέον τι τῶν ἄλλων οἴσεσθαι· τάπερ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέει. πρὸς δὲ τοὺς Ἕλληνάς σφι σκῆψις ἐπεποίητο, τῇπερ δὴ καὶ ἐχρήσαντο. αἰτιωμένων γὰρ τῶν Ἑλλήνων ὅτι οὐκ ἐβοήθεον, ἔφασαν πληρῶσαι μὲν ἑξήκοντα τριήρεας, ὑπὸ δὲ ἐτησιέων ἀνέμων ὑπερβαλέειν Μαλέην οὐκ οἷοί τε γενέσθαι· οὕτω οὐκ ἀπικέσθαι ἐς Σαλαμῖνα, καὶ οὐδεμιῇ κακότητι λειφθῆναι τῆς ναυμαχίης. οὗτοι μὲν οὕτω διεκρούσαντο τοὺς Ἕλληνας.

ρξθ'. Κρῆτες δὲ, ἐπεί τέ σφεας παρελάμβανον οἱ ἐπὶ τούτοισι ταχθέντες Ἑλλήνων, ἐποίησαν τοιόνδε· πέμψαντες κοινῇ θεοπρό-

---

adversus te ire noluimus, aut quippiam tibi ingratum facere. Hæc dicendo sperabant se plus aliquid quam ceteros ablaturos, quod etiam, ut mihi videtur, contigit. Ad Græcos autem excusationem paravere, qua etiam usi sunt: accusantibus enim Græcis quod opem non tulissent, dixere sexaginta se triremes armavisse, sed per ventos etesias superare Maleam nequisse: atque ita ad Salaminem non venisse, nec ullam malitiam in causa fuisse, ut post navalem pugnam venerint. Et isti quidem ita Græcos summoverunt.

169. Cretes autem, postquam adsciti sunt ab iis Græcis, quibus hoc negotium datum erat, ita faciendum putarunt, ut

πους ἐς Δελφοὺς, τὸν θεὸν ἐπειρώτων εἴ σφι ἄμεινον γίνεται τιμωρέουσι τῇ Ἑλλάδι. ἡ δὲ Πυθίη ὑπεκρίνατο, " Ὦ νήπιοι, ἐπιμέμ-" φεσθε ὅσα ὑμῖν ἐκ τῶν Μενέλεω τιμωρη-" μάτων Μίνως ἔπεμψε μηνίων δακρύματα·" ὅτι οἱ μὲν οὐ συνεξεπρήξαντο αὐτῷ τὸν ἐν " Καμίκῳ θάνατον γενόμενον, ὑμεῖς δὲ κεί-" νοισι τὴν ἐκ Σπάρτης ἁρπαχθεῖσαν ὑπ' " ἀνδρὸς βαρβάρου γυναῖκα." ταῦτα οἱ Κρῆτες ὡς ἀπενειχθέντα ἤκουσαν, ἔσχοντο τῆς τιμωρίης.

ρό. Λεγεται γὰρ Μίνεω κατὰ ζήτησιν Δαιδάλου ἀπικόμενον ἐς Σικανίην, τὴν νῦν Σικελίην καλευμένην, ἀποθανεῖν βιαίῳ θανάτῳ· ἀνὰ δὲ χρὸνον Κρῆτας, θεοῦ σφι ἐποτρύναντος, πάντας, πλὴν Πολιχνιτέων τε καὶ

---

communiter Delphos mitterent consultores deum rogaturos, numquid sibi satius foret Græciam defendere. Quibus Pythia respondit, O stulti, conquerimini de lacrymis, quas succensens ob ultionem Menelai vobis Minos misit. Quoniam illi quidem non adjuverunt ulcisci illius cædem in Camico factam: vos autem illos ob mulierem e Sparta a viro barbaro raptam. Hæc Cretes allata ubi audiere, ab auxilio ferendo supersedere.

170. Siquidem fertur, Minoëm, quum Dædalum vestigans in Sicaniam, quæ nunc Sicilia dicitur, pervenisset, violenta nece occubuisse: interjecto deinde tempore omnes Cretes, præter Polichnitanos et Præ-

Πραισίων, ἀπικομένους στόλῳ μεγάλῳ ἐς Σικανίην, πολιορκέειν ἐπ' ἔτεα πέντε πόλιν Κάμικον, τὴν κατ' ἐμὲ Ἀκραγαντῖνοι ἐνέμοντο· τέλος δὲ, οὐ δυναμένους οὔτε ἑλεῖν, οὔτε παραμένειν, λιμῷ συνεστεῶτας, ἀπολιπόντας οἴχεσθαι. ὡς δὲ κατὰ Ἰηπυγίην γενέσθαι πλώοντας, ὑπολαβόντα σφεας χειμῶνα μέγαν ἐκβαλέειν ἐς τὴν γῆν. συναραχθέντων δὲ τῶν πλοίων, οὐδεμίην γὰρ σφι ἔτι κομιδὴν ἐς Κρήτην φαίνεσθαι, ἐνθαῦτα Ὑρίην πόλιν κτίσαντας, καταμεῖναί τε καὶ μεταβαλόντας, ἀντὶ μὲν Κρητῶν, Ἰήπυγας Μεσσαπίους γενέσθαι, ἀντὶ δὲ τοῦ εἶναι νησιώτας, ἠπειρώτας. ἀπὸ δὲ Ὑρίης πόλιος τὰς ἄλλας οἰκῆσαι, τὰς δὴ Ταραντῖνοι χρόνῳ ὕστερον πολλῷ ἐξανιστάντες, προσέπταισαν μεγά-

---

sios, divinitus impulsos, cum magna classe in Sicaniam trajecisse, et quinquennio obsedisse Camicum, quam mea ætate Agrigentini incolunt: ad extremum quum neque illam expugnare possent, neque permanere, fame compulsos relicta urbe abiisse: et dum circa Iapygiam cursum tenerent, ingenti eos tempestate adorta, in terram fuisse ejectos: laceratisque navibus, quia nullus in Cretam receptus ostendebatur, illic subsidentes urbem Hyriam condidisse: et mutato nomine pro Cretibus Iapyges Messapios esse effectos, et pro insulanis continentis incolas: et ab urbe Hyria alias incoluisse: quas diu post Tarentini evertentes, magnam in ruinam devenere, ut hæc maxima cædes omnium quas novimus, extite-

λως· ὥστε φόνος Ἑλληνικὸς μέγιστος οὗτος δὴ ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν, αὐτέων τε Ταραντίνων καὶ Ῥηγίνων· οἳ ὑπὸ Μικύθου τοῦ Χοίρου ἀναγκαζόμενοι τῶν ἀστῶν, καὶ ἀπικόμενοι τιμωροὶ Ταραντίνοισι, ἀπέθανον τρισχίλιοι οὕτω· αὐτέων δὲ Ταραντίνων οὐκ ἐπῆν ἀριθμός. ὁ δὲ Μίκυθος, οἰκέτης ἐὼν Ἀναξίλεω, ἐπίτροπος Ῥηγίου κατελέλειπτο, οὗτος ὅσπερ ἐκπεσὼν ἐκ Ῥηγίου, καὶ Τεγέην τὴν Ἀρκάδων οἰκήσας, ἀνέθηκε ἐν Ὀλυμπίῃ τοὺς πολλοὺς ἀνδριάντας.

ροα΄. Ἀλλὰ τὰ μὲν κατὰ Ῥηγίνους τε καὶ Ταραντίνους, τοῦ λόγου μοι παρενθήκη γέγονε. ἐς δὲ τὴν Κρήτην ἐρημωθεῖσαν, ὡς λέγουσι Πραίσιοι, ἐσοικίζεσθαι ἄλλους τε ἀνθρώπους, καὶ μάλιστα Ἕλληνας. τρίτῃ δὲ γενεῇ μετὰ Μίνεω τελευτήσαντα, γενέσ-

rit, tum ipsorum Tarentinorum, tum Rheginorum, qui a Micytho Chœri filio ad tria millia civium adacti opem ferre Tarentinis, interiere. Ipsorum autem Tarentinorum qui cæsi sunt, numerus non est initus. Micythus autem, quum Anaxilai famulus esset, procurator Rhegii relictus, ubi ex ea urbe excidit, Tegeam Arcadum incoluit, compluresque statuas in Olympia consecravit.

171. Sed mihi Rheginorum et Tarentinorum res sint interpositio historiæ. In Cretam igitur desolatam Præsii aiunt cum alios homines, tum præcipue Græcos immigrasse: tertiaque a morte Minois ætate, res Tro-

θαι τὰ Τρωϊκά. ἐν τοῖσι οὐ φλαυροτάτους φαίνεσθαι ἐόντας Κρῆτας τιμωροὺς Μενέλεω. ἀντὶ τουτέων δὲ σφι ἀπονοστήσασι ἐκ Τροίης, λιμόν τε καὶ λοιμὸν γενέσθαι καὶ αὐτοῖσι καὶ τοῖσι προβάτοισι· ἔς τε τοδεύτερον ἐρημωθείσης Κρήτης μετὰ τῶν ὑπολοίπων τρίτους αὐτὴν νῦν νέμεσθαι Κρῆτας. ἡ μὲν δὴ Πυθίη ὑπομνήσασα ταῦτα, ἔσχε βουλομένους τιμωρέειν τοῖσι Ἕλλησι.

ροβ΄. Θεσσαλοὶ δὲ ὑπὸ ἀναγκαίης τοπρῶτον ἐμήδισαν, ὡς διέδεξαν, ὅτι οὔ σφιν ἥνδανε τὰ οἱ Ἀλευάδαι ἐμηχανέωντο· ἐπεί τε γὰρ ἐπυθέατο τάχιστα μέλλοντα διαβαίνειν τὸν Πέρσην ἐς τὴν Εὐρώπην, πέμπουσι ἐς τὸν Ἰσθμὸν ἀγγέλους. ἐν δὲ τῷ Ἰσθμῷ ἔσαν ἁλισμένοι πρόβουλοι τῆς Ἑλλάδος, ἀραι-

---

janas fuisse, in quibus non deterrimos extitisse Cretes Menelai defensores: et ob id eos Troja reversos una cum suis pecoribus fame pestilentiaque correptos, iterumque desolatam Cretam cum reliquis a tertiis Cretensibus habitari. Harum rerum memoriam refricando, Pythia illos ad ferenda Græcis auxilia animatos cohibuit.

172. At Thessali necessitate subacti circa initia Medorum partes foverunt, quum ostenderent non placere sibi quæ Aleuadæ excogitassent: nam quumprimum audierunt Persam trajicere in Europam, legatos ad Isthmum mittunt, ubi provisores Græciæ delecti e civitatibus coacti erant, quæ de Græcia meliora cogitabant. Ad

ρημένοι ἀπὸ τῶν πολίων τῶν τὰ ἀμείνω φρονεουσέων περὶ τὴν Ἑλλάδα. ἀπικόμενοι δὲ ἐπὶ τούτους τῶν Θεσσαλῶν οἱ ἄγγελοι, ἔλεγον, "Ἄνδρες Ἕλληνες, δεῖ φυλάσσεσθαι τὴν "ἐσβολὴν τὴν Ὀλυμπικὴν, ἵνα Θεσσαλίη "τε καὶ ἡ σύμπασα ᾖ Ἑλλὰς ἐν σκέπῃ τοῦ "πολέμου. ἡμεῖς μέν νυν ἑτοῖμοι εἰμὲν συμ"φυλάσσειν. πέμπειν δὲ χρῆ καὶ ὑμέας "στρατιὴν πολλήν· ὡς εἰ μὴ πέμψετε, ἐπί"στασθε ἡμέας ὁμολογήσειν τῷ Πέρσῃ. οὐ "γάρ τοι προκατημένους τοσοῦτο πρὸ τῆς "ἄλλης Ἑλλάδος μούνους πρὸ ὑμέων δεῖ "ἀπολέσθαι· βοηθέειν δὲ οὐ βουλόμενοι, "ἀναγκαίην ἡμῖν οὐδεμίην οἷοί τέ ἐστε προσ"φέρειν· οὐδαμᾶ γὰρ ἀδυνασίης ἀνάγκη "κρέσσων ἔφυ. ἡμεῖς δὲ πειρησόμεθα αὐτοί

---

quos postquam venere legati Thessalorum, ita verba fecere, Viri Græci, Olympicum ingressum custodiri expedit, ut Thessalia pariter atque omnis Græcia sit septa ab bello. Nos equidem ad custodiendum simul parati sumus: sed vos quoque debetis multum mitter copiarum; quas nisi mittatis, scitote nos pactionem inituros esse cum Persa. Neque enim decet nos adeo ante ceteram Græciam positos pro vobis solos occumbere. Quibus ferre opem si recusatis, nullam potestis injungere necessitatem. Nulla namque fortior necessitas est imbecillitate. Itaque nosmet ipsi aliquam salutem

" τινα σωτηρίην μηχανεόμενοι." ταῦτα ἔλεγον οἱ Θεσσαλοί.

ρογ΄. Οἱ δὲ Ἕλληνες πρὸς ταῦτα ἐβουλεύσαντο ἐς Θεσσαλίην πέμπειν κατὰ θάλασσαν πεζὸν στρατὸν φυλάξοντα τὴν ἐσβολήν. ὡς δὲ συνελέχθη ὁ στρατὸς, ἔπλεε δι' Εὐρίπου. ἀπικόμενος δὲ τῆς Ἀχαιΐης ἐς Ἄλον, ἀποβὰς ἐπορεύετο ἐς Θεσσαλίην, τὰς νέας αὐτοῦ καταλιπών. καὶ ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβολὴν, ἥπερ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην φέρει παρὰ Πηνειὸν ποταμὸν, μεταξὺ δὲ Οὐλύμπου τοῦ οὔρεος ἐόντα καὶ τῆς Ὄσσης. ἐνθαῦτα ἐστρατοπεδεύοντο τῶν Ἑλλήνων κατὰ μυρίους ὁπλῖται συλλεγέντες· καί σφι προσῆν ἡ τῶν Θεσσαλῶν ἵππος. ἐστρατήγεε δὲ Λακεδαιμονίων μὲν, Εὐ-

---

comparare conabimur. Hæc Thessali.

173. Ob quæ Græci illuc mittendum decrevere exercitum pedestrem per mare ad ingressum custodiendum. Exercitus, ubi coactus est, per Euripum navigavit. Qui postquam ad Alum Achaiæ pervenit, egressus, relictis illic navibus, in Thessaliam contendit, et ad Tempe pervenit, ad ingressum, qui ab inferiore Macedonia in Thessaliam fert, juxta amnem Peneum inter Olympum et Ossam montes. Ibi castra posuere Græci, ad decem millia gravis armaturæ coacti: quibus aderat Thessalorum equitatus, ducibus Lacedæmoniorum quidem Euæneto Careni filio, delecto ex pole-

αἴνετος ὁ Καρήνου ἐκ τῶν πολεμάρχων ἀραιρημένος, γένεος μέντοι ἐὼν οὐ τοῦ βασιληΐου· Ἀθηναίων δὲ, Θεμιστοκλέης ὁ Νεοκλέος. ἔμειναν δὲ ὀλίγας ἡμέρας ἐνθαῦτα. ἀπικόμενοι γὰρ ἄγγελοι παρὰ Ἀλεξάνδρου τοῦ Ἀμύντεω, ἀνδρὸς Μακεδόνος, συνεβούλευόν σφι ἀπαλλάσσεσθαι, μηδὲ μένοντας ἐν τῇ ἐσβολῇ, καταπατηθῆναι ὑπὸ τοῦ στρατοῦ τοῦ ἐπιόντος· σημαίνοντες τὸ πλῆθος τῆς στρατιῆς καὶ τὰς νέας. ὡς δὲ οὗτοί σφι ταῦτα συνεβούλευον, χρηστὰ γὰρ ἐδόκεον συμβουλεύειν, καί σφι εὔνοος ἐφαίνετο ἐὼν ὁ Μακεδὼν, ἐπείθοντο. δοκέειν δέ μοι, ἀῤῥωδίη ἦν τὸ πεῖθον, ὡς ἐπύθοντο καὶ ἄλλην ἐοῦσαν ἐσβολὴν ἐς Θεσσαλοὺς κατὰ τὴν ἄνω Μακεδονίην διὰ Πεῤῥαιβῶν κατὰ Γόννον πόλιν, τῇπερ δὴ καὶ

---

marchis, quamquam non esset e regio genere; Atheniensium autem, Themistocle Neoclis filio. Verum paucos illic dies morati sunt: advenientes enim ab Alexandro Amyntæ filio viro Macedone legati, suaserunt eis ut discederent, ne in illo ingressu perstantes, ab exercitu irrumpente proculcarentur; multitudinem terrestrem nauticamque indicando. Horum consilio Græci, nam et bene sibi consuli, et bono erga ipsos animo Macedo esse videbatur, obtemperaverunt. Quamquam mihi videtur diffidentia id suasisse, quum audirent alium etiam esse in Thessalos ingressum per Perrhæbos, in superiori Macedonia, juxta urbem Gonnon, qua et transivit

ἐσέβαλε ἡ στρατιὴ ἡ Ξέρξεω. καταβάντες δὲ οἱ Ἕλληνες ἐπὶ τὰς νέας, ὀπίσω ἐπορεύοντο ἐς τὸν Ἰσθμόν.

ροδʹ, Αὕτη ἐγένετο ἡ ἐς Θεσσαλίην στρατιὴ, βασιλέος τε μέλλοντος διαβαίνειν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίης, καὶ ἐόντος ἤδη ἐν Ἀβύδῳ. Θεσσαλοὶ δὲ ἐρημωθέντες συμμάχων, οὕτω δὴ ἐμήδισαν προθύμως, οὐδέ τι ἐνδοιαστῶς, ὥστε ἐν τοῖσι πρήγμασι ἐφαίνοντο βασιλέϊ ἄνδρες ἐόντες χρησιμώτατοι.

ροέ. Οἱ δὲ Ἕλληνες ἐπεί τε ἀπίκατο ἐς τὸν Ἰσθμὸν, ἐβουλεύοντο πρὸς τὰ λεχθέντα ἐξ Ἀλεξάνδρου, ᾗ τε στήσονται τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. ἡ νικῶσα δὲ γνώμη ἐγένετο, τὴν ἐν Θερμοπύλῃσι ἐσβολὴν φυλάξαι. στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα τῆς ἐς

---

exercitus Xerxis. Ita Græci ad naves regressi, rursus ad Isthmum se receperunt.

174. Hæc fuit in Thessaliam sumpta expeditio, dum rex in Europam ex Asia transiturus erat, et Abydi jam agebat. A sociis autem deserti Thessali, ita prompti ad Medos transiere, jam nihil ambigentes, ut in rebus gerendis sese regi præstiterint utilissimos.

175. Græci autem ad Isthmum reversi, ob ea quæ ab Alexandro dicta erant, consultabant et qua bellum statuerent, et quibus in locis, evicitque hæc sententia, ut præsidio aditum Thermopylarum custodirent, quippe qui videbatur et

Θεσσαλίην, καὶ ἅμα ἀγχοτέρη τε τῆς ἑωϋτῶν. τὴν δὲ ἀτραπὸν δι' ἣν ἥλωσαν οἱ ἁλόντες Ἑλλήνων ἐν Θερμοπύλῃσι, οὐδὲ ᾔδεσαν ἐοῦσαν πρότερον ἤπερ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο Τρηχινίων. ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν, μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον, τὸν δὲ ναυτικὸν στρατὸν πλέειν γῆς τῆς Ἱστιαιώτιδος ἐπὶ Ἀρτεμίσιον. ταῦτα γὰρ ἀγχοῦ τε ἀλλήλων ἐστὶ, ὥστε πυνθάνεσθαι τὰ κατ' ἑκατέρους ἐόντα. οἵτε χῶροι οὕτως ἔχουσι.

ρος'. Τοῦτο μὲν τὸ Ἀρτεμίσιον ἐκ τοῦ πελάγεος τοῦ Θρηϊκίου ἐξ εὐρέος συνάγεται ἐς στεινὸν πόρον, τὸν μεταξὺ ἐόντα νήσου τε Σκιάθου καὶ ἠπείρου Μαγνησίης· ἐκ δὲ τοῦ στεινοῦ τῆς Εὐβοίης, ἤδη τὸ

---

angustior quam ille Thessaliæ, et simul ipsorum terræ propinquior. Nam, semitam qua intercepti sunt apud Thermopylas, ne quidem noverant illi Græci, qui capti sunt, prius quam ingressi Thermopylas ab Trachiniis sciscitati sunt. Hunc igitur aditum tuendo decreveverunt, non sinere barbarum transire in Græciam, utque classis navigaret in Histiæotidis orae Artemisium. Hæc enim loca inter se vicina sunt, ut audiri utrinque possint quæ apud alteros gerantur. Quæ loca ita se habent.

176. Artemisium quidem a pelago Thracico, ex laxitate in arctum cogitur trajectum, qui est inter insulam Sciathum et continentem Magnesiam: ab angu-

Ἀρτεμίσιον ἐκδέκεται αἰγιαλός· ἐν δὲ, Ἀρτέμιδος ἱρόν. ἡ δὲ αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα, ἔστι, τῇ στεινοτάτη, ἡμίπλεθρον· οὐ μέντοι κατὰ τοῦτό γ' ἐστι τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ' ἔμπροσθέν τε Θερμοπυλέων καὶ ὄπισθεν· κατά τε Ἀλπηνοὺς ὄπισθεν ἐόντας ἐοῦσα ἁμαξιτὸς μούνη, καὶ ἔμπροσθεν κατὰ Φοίνικα ποταμὸν, ἀγχοῦ Ἀνθήλης πόλιος, ἁμαξιτὸς ἄλλη μούνη. τῶν δὲ Θερμοπυλέων τὸ μὲν πρὸς ἑσπέρης, ὄρος ἄβατόν τε καὶ ἀπόκρημνον, ὑψηλὸν, ἀνατεῖνον ἐς τὴν Οἴτην. τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ, θάλασσα ὑποδέκεται καὶ τενάγεα. ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρὰ, τὰ χύτρους καλέουσι οἱ ἐπιχώριοι· καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ' αὐτοῖσι.

---

stiis autem Eubœæ jam Artemisium excipit litus, in quo est Dianæ templum. Ingressus vero in Græciam per Trachinem, ubi arctissimus, dimidiati plethri est: quanquam ad cæteram regionem non est hic locus arctissimus, sed ante postque Thermopylas: juxtaque Alpenos a tergo sitos, tantummodo ad agendum vehiculum via patet: anterius etiam juxta flumen Phœnicem, prope urbem Anthelam solum agendo vehiculo rursus via sufficit. Thermopylarum autem quod ad occasum vergit, mons est inaccessus et præalti præcipitii, procedens usque ad Oetam: quod autem viæ vergit ad auroram, mare excipit ac vada. In hoc autem ingressu sunt calida lavacra, quæ *χύτρους, id est ollas*, indigenæ vocant: et

ἐδέδμητο δὲ τεῖχος κατὰ ταύτας τὰς ἐσβολάς· καὶ τό γε παλαιὸν πύλαι ἐπῆσαν. ἔδειμαν δὲ Φωκέες τὸ τεῖχος, δείσαντες, ἐπεὶ Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν οἰκήσοντες γῆν τὴν Αἰολίδα, τήνπερ νῦν ἐκτέαται. ἅτε δὴ πειρωμένων τῶν Θεσσαλῶν καταστρέφεσθαί σφεας, τοῦτο προεφυλάξαντο οἱ Φωκέες· καὶ τὸ ὕδωρ τὸ θερμὸν τότε ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος· πᾶν μηχανεόμενοι ὅκως μή σφι ἐσβάλοιεν οἱ Θεσσαλοὶ ἐπὶ τὴν χώρην. τὸ μέν νυν τεῖχος τὸ ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο, καὶ τὸ πλέον αὐτοῦ ἤδη ὑπὸ χρόνου ἔκειτο. τοῖσι δὲ αὖτις ὀρθώσασι ἔδοξε ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρβαρον. κώμη δέ ἐστι ἀγχοτάτω τῆς ὁδοῦ, Ἀλπηνοὶ οὔνομα· ἐκ

---

prope illa est ara Herculi extructa. Ad hos ingressus, murus ædificatus erat, et olim portæ aderant. Eum autem murum ædificaverant Phocenses metu Thessalorum, quoniam illi ex Thesprotis iere Æolidem terram habitatum, quam nunc possident; quippe Thessalis conantibus eos evertere, hoc præsidio imposito se tutabantur: aquamque illam calidam in ingressum immisere, ut esset lacunosus locus; omnia excogitantes, ne in suam terram Thessali incursarent. Hic tamen antiquus murus quondam extructus, majori ex parte jam vetustate erat collapsus: quem qui rursus excitaverunt, visum est illis faciendum, ut illac barbarum arcerent a Græcia. Est autem proxime viam vicus nomine Alpe-

ταύτης δὲ ἐπισιτιεῖσθαι ἐλογίζοντο οἱ Ἕλληνες.

ροζ′. Οἱ μέν νυν χῶροι οὗτοι τοῖσι Ἕλλησι εἶναι ἐφαίνοντο ἐπιτήδεοι. ἅπαντα γὰρ προσκεψάμενοι καὶ ἐπιλογισθέντες, ὅτι οὔτε πλήθεϊ ἕξουσι χρεέσθαι οἱ βάρβαροι, οὔτε ἵππῳ, ταύτῃ σφι ἐδόξε δέκεσθαι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα. ὡς δὲ ἐπύθοντο τὸν Πέρσην ἐόντα ἐν Πιερίῃ, διαλυθέντες ἐκ τοῦ Ἰσθμοῦ, ἐστρατεύοντο αὐτέων οἱ μὲν, ἐς Θερμοπύλας πεζῇ, ἄλλοι δὲ, κατὰ θάλασσαν ἐπ' Ἀρτεμίσιον.

ροη′. Οἱ μὲν δὴ Ἕλληνες κατὰ τάχος ἐβοήθεον διαταχθέντες. Δελφοὶ δ' ἐν τούτῳ τῷ χρόνῳ ἐχρηστηριάζοντο τῷ θεῷ, ὑπὲρ ἑωϋτῶν καὶ τῆς Ἑλλάδος καταῤῥωδηκότες. καί σφι ἐχρήσθη ἀνέμοισι εὔχεσθαι· μεγά-

---

ni, unde frumentari Græci statuerant.

177. Et hæc quidem loca videbantur Græcis opportuna, cuncta enim ante rimati atque ratiocinati, ubi barbari neque multitudine neque equitatu uti possent, ibi illum Græciæ turbatorem excipere statuerunt. Postea vero quam Persam in Pieria esse audiere, ex Isthmo digressi sunt; peditatus ad Thermopylas insidendas, ceteri mari, ad Artemisium.

178. Et Græci quidem ex jussu propere ad succurrendum tendunt; interea vero Delphi deum consuluere, de seipsis et de Græcia solliciti. His responsum est ut ventos precarentur:

λους γὰρ τούτους ἔσεσθαι τῇ Ἑλλάδι συμμάχους. Δελφοὶ δὲ δεξάμενοι τὸ μαντήϊον, πρῶτα μὲν Ἑλλήνων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι, ἐξήγγειλαν τὰ χρησθέντα αὐτοῖσι· καί σφι δεινῶς καταῤῥωδέουσι τὸν βάρβαρον ἐξαγγείλαντες, χάριν ἀθάνατον κατέθεντο. μετὰ δὲ ταῦτα οἱ Δελφοὶ τοῖσι ἀνέμοισι βωμόν τε ἀπέδεξαν ἐν Θυίῃ, τῆπερ τῆς Κηφισσοῦ θυγατρὸς Θυίης τὸ τέμενός ἐστι, ἐπ' ἧς καὶ ὁ χῶρος οὗτος τὴν ἐπωνυμίην ἔχει, καὶ θυσίῃσί σφεας μετήϊσαν. Δελφοὶ μὲν δὴ κατὰ τὸ χρηστήριον ἔτι καὶ νῦν τοὺς ἀνέμους ἱλάσκονται.

ροθ', Ὁ δὲ ναυτικὸς Ξέρξεω στρατὸς ὁρμεόμενος ἐκ Θέρμης πόλιος, παρέβαλε νηυσὶ τῇσι ἄριστα πλεούσῃσι δέκα, ἰθὺ Σκιάθου·

---

illos enim maximos fore Græciæ auxiliatores. Delphi quod accepere oraculum, cum iis primum Græcis communicavere quibus libertas cordi erat; quo nuncio illos quod barbarum magnopere timerent, immortali beneficio demeruere. Deinde statuta ventis ara in Thyia, ubi fanum est Thyiæ Cephissi filiæ, a qua et locus hic habet nomen, etiam hostiis illos prosequuti sunt: propter quod oraculum etiam nunc Delphi ventos propitiant.

179. Nauticus autem Xerxis exercitus ex urbe Therma movens, decem ex omnibus navibus velocissimas recta trajecit in Sciathum, ubi erant tres

ἔνθα ἔσαν προφυλάσσουσαι νέες τρεῖς Ἑλληνίδες, Τροιζηνίη τε καὶ Αἰγιναίη καὶ Ἀττική. προϊδόντες δὲ οὗτοι τὰς νέας τῶν βαρβάρων, ἐς φυγὴν ὥρμησαν.

ρπ'. Τὴν μὲν δὴ Τροιζηνίην, τῆς ἦρχε Πρηξῖνος, αὐτίκα αἱρέουσι ἐπισπόμενοι οἱ βάρβαροι. καὶ ἔπειτα τῶν ἐπιβατέων αὐτῆς τὸν καλλιστεύοντα ἀγαγόντες ἐπὶ τῆς πρώρης τῆς νηὸς ἔσφαξαν, διαδέξιον ποιεύμενοι τὸν εἷλον τῶν Ἑλλήνων πρῶτον καὶ κάλλιστον. τῷ δὲ σφαγιασθέντι πούτῳ τοὔνομα ἦν Λέων. τάχα δ' ἄν τι καὶ τοῦ οὐνόματος ἐπαύροιτο.

ρπα'. Ἡ δὲ Αἰγιναίη, τῆς ἐτριηράρχεε Ἀσωνίδης, καί τινά σφι θόρυβον παρέσχε, Πύθεω τοῦ Ἰσχενόου ἐπιβατεύοντος, ἀνδρὸς

---

præsidiariæ naves Græcæ, Trœzenia, Æginæa, Attica: quæ prospicientes barbarorum naves, in fugam se proripuerunt.

180. Sed ex iis Træzeniam, cui præerat Praxinus, insequuti barbari, continuo capiunt; ac deinde strenuissimum propugnatorum ejus ducentes, in prora navis jugulant, perfaustum existimantes, quem primum et strenuissimum Græcorum ceperant: huic autem, quem mactaverunt, nomen erat Leon; fortasse etiam non nihil ipso nomine fruitus est.

181. Æginæa vero, cujus trierarchus erat Asonides, nonnihil tumultus hostibus præstitit, quod inter propugnatores erat Pythes Ischenoi filius, vir

ἀρίστου γενομένου ταύτην τὴν ἡμέρην. ὃς, ἐπειδὴ ἡ νηῦς ἡλίσκετο, ἐς τοῦτο ἀντεῖχε μαχόμενος, ἐς ὃ κατεκρεουργήθη ἅπας. ὡς δὲ πεσὼν οὐκ ἀπέθανε, ἀλλ᾿ ἦν ἔμπνοος, οἱ Πέρσαι οἵπερ ἐπεβάτευον ἐπὶ τῶν νεῶν, δι᾿ ἀρετὴν τὴν ἐκείνου, περιποιῆσαί μιν περὶ πλείστου ἐποιήσαντο, σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα, καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες. καί μιν, ὡς ὀπίσω ἀπίκοντο ἐς τὸ ἑωϋτῶν στρατόπεδον, ἐπεδείκνυσαν ἐκπαγλεόμενοι πάσῃ τῇ στρατιῇ, περιέποντες εὖ· τοὺς δὲ ἄλλους τοὺς ἔλαβον ἐν τῇ νηῒ ταύτῃ, περιεῖπον ὡς ἀνδράποδα.

ρπβ΄. Αἱ μὲν δὴ δύο τῶν νεῶν οὕτω ἐχειρώθησαν. ἡ δὲ τρίτη, τῆς ἐτριηράρχεε Φόρμος, ἀνὴρ Ἀθηναῖος, φεύγουσα, ἐξοκέλλει ἐς

---

eo die præstantissimus: qui quum caperetur navis, tamen eousque pugnando restitit; donec totus in frusta carnis concisus est; quumque collapsus non esset mortuus, sed spiraret, Persæ, qui in navibus militarem operam præstabant, admiratione virtutis, magnum operæ pretium putaverunt servare, vulnera myrrha sanantes, sindonisque byssinæ fasciis obvolventes, ac rursus in castra sua reversi, hominem universo exercitui ostentabant admirabundi, ac probe excipientes: quum alios quos in eadem navi ceperant, tanquam mancipia tractarent.

182. Duabus navibus ita interceptis, tertia, cui præerat Phormus, vir Atheniensis, dum fugit, ad ostia Penei impacta

τὰς ἐμβολὰς τοῦ Πηνειοῦ· καὶ τοῦ μὲν σκάφεος ἐκράτησαν οἱ βάρβαροι, τῶν δὲ ἀνδρῶν, οὔ. ὡς γὰρ δὴ τάχιστα ἐπώκειλαν τὴν νέα οἱ Ἀθηναῖοι, ἀποθορόντες κατὰ Θεσσαλίην πορευόμενοι ἐκομίσθησαν ἐς τὰς Ἀθήνας. ταῦτα οἱ Ἕλληνες οἱ ἐπ' Ἀρτεμισίῳ στρατοπεδευόμενοι πυνθάνονται παρὰ πυρσῶν ἐκ Σκιάθου. πυθόμενοι δὲ καὶ καταῤῥωδήσαντες, ἀπὸ τοῦ Ἀρτεμισίου μετωρμίζοντο ἐς Χαλκίδα, φυλάξοντες μὲν τὸν Εὔριπον, λείποντες δὲ ἡμεροσκόπους περὶ τὰ ὑψηλὰ τῆς Εὐβοίης.

ρπγ΄. Τῶν δὲ δέκα νεῶν τῶν βαρβάρων τρεῖς ἐπέλασαν περὶ τὸ ἕρμα τὸ μεταξὺ ἐὸν Σκιάθου τε καὶ Μαγνησίης, καλεόμενον δὲ Μύρμηκα. ἐνθαῦτα οἱ βάρβαροι, ἐπειδὴ στήλην λίθου ἐπέθηκαν, κομίσαντες ἐπὶ τὸ ἕρμα,

---

est; qua sine viris barbari potiti sunt: nam Athenienses, simulatque navem impegerunt, ab ea desilientes, iter Thessaliam intenderunt, seque Athenas receperunt. Hujus rei per ignes e Sciatho editos facti certiores Græci qui ad Artemisium castra habebant, et ob id perterriti, illinc Chalcidem concesserunt quidem ad Euripum tutandum, relictis tamen per edita Eubœæ loco diurnis speculatoribus.

183. Ex illis autem decem barbarorum navibus tres ad saxum, quod est inter Sciathum et Magnesiam, nomine Myrmecem, invectæ sunt: quo loco ubi barbari lapideam columnam

ὁρμηθέντες αὐτοὶ ἐκ Θέρμης, ὥς σφι τὸ ἐμποδὼν ἐγεγόνεε καθαρὸν, ἐπέπλεον πάσῃσι τῇσι νηυσὶ, ἕνδεκα ἡμέρας παρέντες μετὰ τὴν βασιλέος ἐξέλασιν ἐκ Θέρμης. τὸ δὲ ἕρμα σφι κατηγήσατο ἐὸν ἐν πόρῳ μάλιστα Πάμμων Σκύριος. πανημερὸν δὲ πλώοντες οἱ βάρβαροι, ἐξανύουσι τῆς Μαγνησίης χώρης ἐπὶ Σηπιάδα τε καὶ τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς.

ρπδ΄. Μέχρι μέν νυν τούτου τοῦ χώρου καὶ Θερμοπυλέων, ἀπαθής τε κακῶν ἦν ὁ στρατός· καὶ πλῆθος ἦν τηνικαῦτα, ὡς ἐγὼ συμβαλεόμενος εὑρίσκω. τῶν μὲν ἐκ τῶν νεῶν τῶν ἐκ τῆς Ἀσίης ἐουσέων ἑπτὰ καὶ διηκοσιέων καὶ χιλιέων· τὸν μὲν ἀρχαῖον ἑκάστων τῶν

---

apportatam imposuere, ipsi qui ex Therma solverunt, postquam omnia ante oculos fuerunt pura, cum tota classe adnavigabant undecim diebus, ex quo rex a Therma discesserat, interpositis: sed eos ad id saxum quod erat in trajectu deducebat præcipue Scyrus Pammon. Hinc totum diem navigantes barbari, partem oræ Magnesiæ peragunt ad Sepiadem, et litus quod est inter urbem Casthanæam et oram Sepiadem.

184. Ad hunc usque locum atque Thermopylas exsors malorum Xerxis exercitus fuit: et adhuc multitudo erat, quemadmodum ego conjiciendo invenio navium quidem ex Asia mille ducentarum septem: antiquam turbam e singulis natio-

ἐθνέων ἐόντα ὅμιλον, τέσσερας καὶ εἴκοσι μυριάδας, καὶ πρὸς, χιλιάδα τε καὶ τετρακοσίους· ὡς ἀνὰ διηκοσίους ἄνδρας λογιζομένοισι ἐν ἑκάστῃ νηΐ. ἐπεβάτευον δὲ ἐπὶ τουτέων τῶν νεῶν, χωρὶς ἑκάστων τῶν ἐπιχωρίων ἐπιβατέων, Περσέων τε καὶ Μήδων καὶ Σακέων, τριήκοντα ἄνδρες. οὗτος ἄλλος ὅμιλος γίνεται τρισμύριοι, καὶ ἑξακισχίλιοι, καὶ πρὸς, διηκόσιοί τε καὶ δέκα. προσθήσω δ' ἔτι τούτῳ καὶ τῷ προτέρῳ ἀριθμῷ τοὺς ἐκ τῶν πεντηκοντέρων, ποιήσας ὅτι πλέον ἦν αὐτέων ἢ ἔλασσον ἀν' ὀγδώκοντα ἄνδρας ἐνεῖναι. συνελέχθη δὲ ταῦτα τὰ πλοῖα, ὡς καὶ πρότερόν μοι ἐῤῥήθη, τρισχίλια. ἤδη ὦν ἄνδρες ἂν εἶεν ἐν αὐτοῖσι τέσσερες μυριάδες, καὶ εἴκοσι. τούτο μέν νυν τὸ ἐκ τῆς Ἀσίης ναυτι-

---

nibus millia ducenta et quadraginta unum ac quadringentos, ducenos supputando viros in unaquaque nave: et in his navibus præter indigenas singularum propugnatores, erant Persarum Medorumque ac Sacarum triceni epibatæ. Hæc alia turba constabat ex triginta sex millibus, ducentisque ad decem. Adjiciam autem huic et superiori numero eos qui sunt ex navibus quinquaginta remorum, supponens, quidquid plus erat in eis aut minus, ad singulas octoginta viros. Quarum navium summa, ut superius jam a me dictum est, trium millium fuit: ita in eis fuerint virorum ducenta et quadraginta millia. Hæc igitur erat classis ex Asia, quingentorum et decem milli-

κὸν ἦν σύμπαν ἐὸν, πεντήκοντα μυριάδες, καὶ μία, χιλιάδες τε ἔπεισι ἐπὶ ταύτῃσι ἑπτὰ, καὶ πρὸς, ἑκατοντάδες ἓξ, καὶ δέκας. τοῦ δὲ πεζοῦ, ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες ἐγίνοντο· τῶν δὲ ἱππέων, ὀκτὼ μυριάδες. προσθήσω δ' ἔτι τούτοισι τὰς καμήλους τοὺς ἐλαύνοντας Ἀραβίους, καὶ τοὺς τὰ ἅρματα Λίβυας, πλῆθος ποιήσας δισμυρίους ἄνδρας. καὶ δὴ τό, τε ἐκ τῶν νεῶν καὶ τοῦ πεζοῦ πλῆθος συντιθέμενον, γίνεται διηκόσιαί τε μυριάδες, καὶ τριήκοντα καὶ μία, καὶ πρὸς, χιλιάδες ἑπτὰ, καὶ ἑκατοντάδες ἓξ καὶ δέκας. τοῦτο μὲν δὴ τὸ ἐξ αὐτῆς τῆς Ἀσίης στράτευμα ἐξαναχθὲν εἴρηται, ἄνευ τε τῆς θεραπηΐης τῆς ἑπομένης, καὶ τῶν σιταγωγῶν πλοίων, καὶ ὅσοι ἐνέπλεον τουτοῖσι.

---

um virorum in universum, et præterea septem millium sexcentorum decem. Peditatus fuit decies septies centenum millium: equitatus, octoginta millium: quibus addo Arabes qui camelos, Afros qui currus agitabant, quos facioviginti millium. Quæ copiæ classariæ et terrestres in summam redactæ fiunt ter et vicies centena et præterea decem et septem millia, sexcenti et decem. Has copias ex ipsa Asia fuisse eductas dictum est, præter servitia quæ comitabantur, et frumentarias naves, et quot in eis vehebantur.

ρπέ. Τὸ δὲ δὴ ἐκ τῆς Εὐρώπης ἀγόμενον στράτευμα, ἔτι προσλογιστέα τούτῳ παντὶ τῷ ἐξηριθμημένῳ· δόκησιν δὲ δεῖ λέγειν. νέας μέν νυν οἱ ἀπὸ Θρηΐκης Ἕλληνες, καὶ ἐκ τῶν νήσων τῶν ἐπικειμένων τῇ Θρηΐκῃ, παρείχοντο εἴκοσι καὶ ἑκατόν. ἐκ μέν νυν τουτέων τῶν νέων, ἄνδρες τετρακισχίλιοι καὶ δισμύριοι γίνονται. πεζοῦ δὲ, τὸν Θρήϊκες παρείχοντο, καὶ Παίονες, καὶ Ἐορδοὶ, καὶ Βοττιαῖοι, καὶ τὸ Χαλκιδικὸν γένος, καὶ Βρύγοι, καὶ Πίερες, καὶ Μακεδόνες, καὶ Περραιβοὶ, καὶ Ἐνιῆνες, καὶ Δόλοπες, καὶ Μάγνητες, καὶ Ἀχαιοὶ, καὶ ὅσοι τῆς Θρηΐκης τὴν παραλίην νέμονται· τουτέων τῶν ἐθνέων, τριήκοντα μυριάδας δοκέω γενέσθαι. αὗται ὦν αἱ μυριάδες κείνῃσι προστεθεῖσαι τῇσι ἐκ τῆς Ἀσίης, γίνονται ἀνδρῶν αἱ πᾶσαι μάχιμοι μυριάδες

185. Huic omni enumerato exercitui adjiciendus est ille ductus ex Europa, de quo ex opinione dicere oportet. Isti igitur Græci ab Thracia, et ex insulis Thraciæ objacentibus, præbuerunt naves centum viginti, quarum viri fiunt viginti quatuor millia: terrestres copias præbuerunt Thraces, et Pæones, et Eordi, et Bottiæi, et genus Chalcidicum, et Brygi, et Pieres, et Macedones, et Perrhæbi, et Enienes, et Dolopes, et Magnetes, et Achæi, et qui maritima Thraciæ habitabant. Harum nationum reor trecenta millia fuisse: quæ myriades illis Asiaticis adjectæ, fiunt in summa virorum pugnantium

διηκόσιαι, καὶ ἑξήκοντα, καὶ τέσσερες. ἔπεισι δὲ ταύτησι ἑκατοντάδες ἑκκαίδεκα, καὶ δέκας.

ρπϛ. Τοῦ μαχίμου δὲ τούτου ἐόντος ἀριθμὸν τοσούτου, τὴν θεραπηΐην τὴν ἑπομένην τούτοισι, καὶ τοὺς ἐν τοῖσι σιταγωγοῖσι ἀκάτοισι ἐόντας, καὶ μάλα ἐν τοῖσι ἄλλοισι πλοίοισι, τοῖσι ἅμα πλέουσι τῇ στρατιῇ, τούτους τῶν μαχίμων ἀνδρῶν οὐ δοκέω εἶναι ἐλάσσονας, ἀλλὰ πλεῦνας. καὶ δή σφεας ποιέω ἴσους ἐκείνοισι εἶναι, καὶ οὔτε πλεῦνας, οὔτε ἐλάσσονας οὐδέν. ἐξισούμενοι δὲ οὗτοι τῷ μαχίμῳ, ἐκπληροῦσι τὰς ἴσας μυριάδας ἐκείνῃσι. οὕτω πεντηκοσίας τε μυριάδας καὶ εἴκοσι καὶ ὀκτὼ, καὶ χιλιάδας τρεῖς, καὶ ἑκατοντάδας δύο, καὶ δεκάδας δύο ἀνδρῶν ἤγαγε Ξέρξης ὁ Δαρείου μέχρι Σηπιάδος, καὶ Θερμοπυλέων.

---

ducentæ sexaginta quatuor, et præterea mille sexcenti ac decem.

186. Hoc autem ipso tali pugnantium numero non pauciora sed plura fuisse arbitror, quæ eos comitabantur ministerii instrumenta, et eos qui in frumentariis acatiis erant, et omnino in aliis navibus, quæ una cum exercitu procedebant. Et sane facio illos istis pares esse, et neque plures neque ulla parte pauciores. Ita æquati numero pugnantium, explent easdem illis myriadas. Sic quingentas et viginti octo myriadas, et tria millia ducentos et viginti viros Xerxes Darii filius duxit ad Sepiadem usque et ad Thermopylas

ρπζ'. Οὗτος μὲν δὴ τοῦ συνάπαντος στρατεύματος τοῦ Ξέρξεω ἀριθμός. γυναικῶν δὲ σιτοποιέων, καὶ παλλακέων, καὶ εὐνούχων, οὐδεὶς ἂν εἴποι ἀτρεκέα ἀριθμόν· οὐδ' αὖ ὑποζυγίων τε καὶ τῶν ἄλλων κτηνέων τῶν ἀχθοφόρων, καὶ κυνῶν Ἰνδικῶν τῶν ἑπομένων, οὐδ' ἂν τουτέων ὑπὸ πλήθεος οὐδεὶς ἂν εἴποι ἀριθμόν. ὥστε οὐδέν μοι θῶϋμα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἐνίων, ἀλλὰ μᾶλλον ὅκως τὰ σιτία ἀντέχρησε θῶϋμά μοι μυριάσι τοσαύτῃσι. εὑρίσκω γὰρ συμβαλλεόμενος, εἰ χοίνικα πυρῶν ἕκαστος τῆς ἡμέρης ἐλάμβανε, καὶ μηδὲν πλέον, ἕνδεκα μυριάδας μεδίμνων τελεομένας ἐπ' ἡμέρῃ ἑκάστῃ, καὶ πρὸς, τριηκοσίους τε ἄλλους μεδίμνους, καὶ τεσσεράκοντα. γυναιξὶ δὲ καὶ εὐ-

187. Hic est universarum copiarum Xerxis numerus. Nam mulierum pinsentium et pallacarum et eunuchorum numerum nemo pro comperto dixerit: ac ne impedimentorum quidem, aliorumque jumentorum sarcinariorum, neque canum Indicorum, exercitum comitantium, præ multitudine quisquam niverit numerum. Quo minus miror prodidisse fluenta quorundam amnium; magis miror, quomodo tot myriadibus cibaria suppetierint: nam subducta ratione comperio, si singuli quotidie singulos frumenti chœnicas, et non amplius acceperunt, absumpta fuisse singulis diebus centum decem millia medimnorum, et alios trecentos ac quadraginta medimnos. Haud an-

νούχοισι, καὶ ὑποζυγίοισι, καὶ κυσὶ, οὐ λογίζομαι. ἀνδρέων δ᾽ ἐουσέων τοσουτέων μυριαδέων, κάλλεός τε εἵνεκα, καὶ μεγάθεος, οὐδεὶς αὐτέων ἀξιονικότερος ἦν αὐτοῦ Ξέρξεω ἔχειν τοῦτο τὸ κράτος.

ρπη΄. Ὁ δὲ δὴ ναυτικὸς στρατὸς, ἐπεί τε ὁρμηθεὶς ἔπλεε, καὶ κατέσχε τῆς Μαγνησίης χώρης ἐς τὸν αἰγιαλὸν, τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς, αἱ μὲν δὴ πρῶται τῶν νεῶν ὅρμεον πρὸς τῇ γῇ, ἄλλαι δ᾽ ἐπ᾽ ἐκείνῃσι ἐπ᾽ ἀγκυρέων· ἅτε γὰρ τοῦ αἰγιαλοῦ ἐόντος οὐ μεγάλου, πρόκροσσαι ὁρμέοντο ἐς πόντον, καὶ ἐπὶ ὀκτὼ νέας. ταύτην μὲν τὴν εὐφρόνην οὕτω. ἅμα δὲ ὄρθρῳ, ἐξ αἰθρίης τε καὶ νηνεμίης τῆς θαλάσσης ζεσάσης, ἐπέπεσέ σφι χειμὼν

---

numero datum mulieribus eunuchisque, et jumentis, atque canibus. In quo exercitu quum tot virorum myriades forent, nec specie nec magnitudine corporis quisquam eorum Xerxe ipso erat dignior, qui illud imperium obtineret.

188. Navales autem copiæ, postquam e statione solverunt, provectæque litus terræ Magnesiæ tenuerunt, quæ est inter urbem Casthanæam et oram Sepiadem, primæ quæque naves ad terram habuere stationem, aliæ deinceps in ancoris; utpote quum non magnum foret litus, capitibus in pontum obversis stabant etiam ad octavum usque ordinem, atque ita per istam noctem. Sub ipsum vero diluculum, ex sereno cœlo et tranquillo quum mare efferbuisset, incidit in eam atrox tem-

τε μέγας καὶ πολλὸς ἄνεμος ἀπηλιώτης, τὸν δὴ Ἑλλησποντίην καλέουσι οἱ περὶ ταῦτα τὰ χωρία οἰκημένοι. ὅσοι μὲν οὖν αὐξόμενον ἔμαθον τὸν ἄνεμον, καὶ τοῖσι οὕτω εἶχε ὅρμου, οἵδ' ἔφθησαν τὸν χειμῶνα, ἀνασπάσαντες τὰς νέας, καὶ αὐτοί τε περιῆσαν καὶ αἱ νέες αὐτέων· ὅσας δὲ τῶν νεῶν μεταρσίας ἔλαβε, τὰς μὲν ἐξέφερε πρὸς Ἰπνοὺς καλεομένους, τοὺς ἐν Πηλίῳ, τὰς δὲ ἐς τὸν αἰγιαλόν· αἱ δὲ περὶ αὐτὴν τὴν Σηπιάδα περιέπιπτον· αἱ δὲ ἐς Μελίβοιαν πόλιν, αἱ δὲ ἐς Κασθαναίην ἐξεβράσσοντο. ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον.

ρπθ'. Λέγεται δὲ λόγος ὡς Ἀθηναῖοι τὸν Βορῆν ἐκ θεοπροπίου ἐπεκαλέσαντο, ἐλθόντος σφι ἄλλου χρηστηρίου, τὸν γαμβρὸν ἐπίκου-

---

pestas, ac vehemens ventus subsolanus, quem Hellespontiam nuncupant, qui circa illa loca habitant. Eum ventum quicunque augescere animadverterunt, et quibusp er conditionem stationis licuit, ii tempestatem prævenerunt retrahendo naves, et sese atque illas incolumes præstiterunt: at quas naves ventus in alto nactus est, earum alias ad loca quæ dicuntur Ἰπνοί, *id est, furni*, quæ sunt in Pelio, extulit, alias in litus, aliæ in ipsam Sepiadem illisæ sunt, aliæ in urbem Melibœam, aliæ in Casthanæam expellebantur: erat enim intoleranda vis ejus.

189. Enimvero feruntur Athenienses divinitus Boream invocasse, allato ad eas oraculo alio, ut generum suum ad sibi

ρον καλέσασθαι. Βορῆς δὲ, κατὰ τὸν Ἑλλήνων λόγον, ἔχει γυναῖκα Ἀττικὴν, Ὠρειθυίην τὴν Ἐρεχθῆος. κατὰ δὴ τὸ κῆδος τοῦτο οἱ Ἀθηναῖοι, ὡς φάτις ὥρμηται, συμβαλλεόμενοί σφι τὸν Βορῆν γαμβρὸν εἶναι, καὶ ναυλοχέοντες τῆς Εὐβοίης ἐν Χαλκίδι, ὡς ἔμαθον αὐξόμενον τὸν χειμῶνα, ἢ καὶ πρὸ τούτου, ἐθύοντό τε καὶ ἐπεκαλέοντο τόν τε Βορῆν καὶ τὴν Ὠρειθυίην, τιμωρῆσαί σφι, καὶ διαφθεῖραι τῶν βαρβάρων τὰς νέας, ὡς καὶ πρότερον περὶ Ἄθων. εἰ μέν νυν διὰ ταῦτα τοῖσι βαρβάροισι ὁρμέουσι ὁ Βορῆς ἐπέπεσε, οὐκ ἔχω εἰπαι· οἱ δ' ὧν Ἀθηναῖοί σφι λέγουσι βοηθήσαντα τὸν Βορῆν πρότερον, καὶ τότε ἐκεῖνα κατεργάσασθαι· καὶ ἱρὸν ἀπελ-

---

opitulandum invocarent. Habet autem, ut apud Græcos fertur, Boreas in matrimonio Orithyiam, Atticam, Erechthei filiam. Ex hac affinitate, ut fama est, Athenienses inducti sunt ad conjectandum Boream sibi generum esse, et dum in Chalcide EubϾ excubarent, quum intelligerent auctum iri tempestatem, aut etiam ante hoc tempus, sacrificaverunt, et invocaverunt Boream et Orithyiam, ut sibi auxilio essent, et barbarorum naves corrumperent, quemadmodum prius etiam circa Athon. Num autem ob id Boreas ingruerit in barbaros stationem agentes, non queo dicere: certe Athenienses aiunt Boream, qui ante fuerit ipsis auxilio, etiam tunc illa ef-

E 4

θόντες Βορέω ἱδρύσαντο παρὰ ποταμὸν Ἰλισσόν.

ϙϟ΄. Ἐν τούτῳ τῷ πόνῳ νέας οἱ ἐλαχίστας λέγουσι διαφθαρῆναι, τετρακοσιέων οὐκ ἐλάσσονας, ἄνδρας τε ἀναριθμήτους, χρημάτων τε πλῆθος ἄφθονον· ὥστε Ἀμεινοκλέϊ τῷ Κρητίνεω, ἀνδρὶ Μάγνητι, γηοχέοντι περὶ Σηπιάδα, μεγάλως ἡ ναυηγίη αὕτη χρηστὴ ἐγένετο· ὃς πολλὰ μὲν χρύσεα ποτήρια ὑστέρῳ ἐκβρασσόμενα ἀνείλετο, πολλὰ δὲ ἀργύρεα· θησαυρούς τε τῶν Περσέων εὗρε, ἄλλα τε χρύσεα ἄφατα χρήματα περιεβάλετο. ἀλλ' ὁ μὲν, τἄλλα οὐκ εὐτυχέων, εὑρήμασι μέγα πλούσιος ἐγένετο· ἦν γάρ τις καὶ τοῦτον ἄχαρις συμφορὴ λυπεῦσα παιδοφόνος.

---

fecisse: atque digressi illinc, delubrum Boreæ extruxere ad amnem Ilissum.

190. In hac clade qui paucissimas naves, ii non pauciores quadringentis periisse aiunt, viros quoque innumerabiles, ac vim pecuniarum immensam; ut Aminocli Cratini filio, viro Magneti, circa Sepiadem possessiones habenti, majorem in modum fuerit fructuosum hoc naufragium, qui sequenti tempore multa pocula aurea per æstum ejecta, multa argentea sustulit, thesaurosque Persarum invenit, affatimque aliarum ex auro rerum lucratus est: et quum alioqui non esset fortunatus, rebus repertis mirifice est ditatus: nam et hunc calamitas quædam tristis lugere cogebat ob liberorum necem.

ρϞα΄. Σιταγωγῶν δὲ ὁλκάδων, καὶ τῶν ἄλλων πλοίων διαφθειρομένων, οὐκ ἐπῆν ἀριθμός· ὥστε δείσαντες οἱ στρατηγοὶ τοῦ ναυτικοῦ στρατοῦ μή σφι κεκακωμένοισι ἐπιθέωνται οἱ Θεσσαλοὶ, ἕρκος ὑψηλὸν ἐκ τῶν ναυηγίων περιεβάλοντο. ἡμέρας γὰρ δὴ ἐχείμαζε τρεῖς· τέλος δὲ, ἔντομά τε ποιεῦντες, καὶ καταείδοντες γόησι τῷ ἀνέμῳ οἱ μάγοι, πρός τε τούτοισι, καὶ τῇ Θέτι καὶ τῇσι Νηρηΐσι θύοντες, ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε. τῇ δὲ Θέτι ἔθυον, πυθόμενοι παρὰ τῶν Ἰώνων τὸν λόγον, ὡς ἐκ τοῦ χώρου τούτου ἁρπασθείη ὑπὸ Πηλῆος, εἴη τε ἅπασα ἡ ἀκτὴ ἡ Σηπιὰς ἐκείνης τε καὶ τῶν ἄλλων Νηρηΐδων. ὁ μὲν δὴ τετάρτῃ ἡμέρῃ ἐπέπαυτο.

191. Navium autem frumentariarum aliorumque navigiorum quæ perierunt, numerus iniri non potest. Unde præfecti navalium copiarum, veriti ne sibi post acceptam calamitatem Thessali incursarent, excelsum vallum e naufragiis circumdederunt. Triduo enim tempestas perstitit: quarto tandem die magi humanis hostiis, et præstigiis incantando ventum, ad hæc Thetidi ac Nereidibus sacrificando, tempestatem compescuerunt; sive alioquin ipsa sua sponte cessavit. Thetidi autem sacrificavere, quod ab Ionibus acceperant; Thetin ex eo loco raptam fuisse a Peleo, omnemque eam oram Sepiadem illius esse, aliarumque Nereidum. Et illa quidem quarto die conquievit.

ρϟϐ'. Τοῖσι δὲ Ἕλλησι οἱ ἡμεροσκόποι ἀπὸ τῶν ἄκρων τῶν Εὐϐοϊκῶν καταδραμόντες δευτέρῃ ἡμέρῃ, ἀπ' ἧς ὁ χειμὼν ὁ πρῶτος ἐγένετο, ἐσήμαινον πάντα τὰ γενόμενα περὶ τὴν ναυηγίην. οἱ δὲ, ὡς ἐπύθοντο, Ποσειδέωνι σωτῆρι εὐξάμενοι, καὶ σπονδὰς προχέαντες, τὴν ταχίστην ὀπίσω ἠπείγοντο ἐπὶ τὸ Ἀρτεμίσιον· ἐλπίσαντες ὀλίγας τινάς σφι ἀντιξόους ἔσεσθαι νῆας. οἱ μὲν δὴ τοδεύτερον ἐλθόντες περὶ τὸ Ἀρτεμίσιον, ἐναυλόχεον, Ποσειδέωνος σωτῆρος ἐπωνυμίην ἀπὸ τούτου ἔτι καὶ ἐς τόδε νομίζοντες.

ρϟγ'. Οἱ δὲ βάρβαροι, ὡς ἐπαύσατό τε ὁ ἄνεμος, καὶ τὸ κῦμα ἔστρωτο, κατασπάσαντες τὰς νῆας, ἔπλεον παρὰ τὴν ἤπειρον. κάμψαντες δὲ τὴν ἄκρην τῆς Μαγνησίης,

---

192. At Græcis diurni sui speculatores ex Euboicis promontoriis decurrentes, altero ab exorta primum tempestate die indicarunt omnia quæ circa naufragium contigerant. Quæ isti ubi audiere, fusis ante votis Servatori Neptuno ac libamentis, celerrime rursus ad Artemisium revehuntur, sperantes sibi paucas aliquas naves fore adversarias. Ita ad Artemisium revecti iterum stationem habuere, Neptuni Servatoris cognomen inde ad hoc usque tempus usurpantes.

193. Barbari, postea quam ventus quievit, et fluctus strati sunt, deductis navibus præter continentem enavigabant, circumvehentesque promontorium Magnesiæ, rectum cursum in

ἰθεῖαν ἔπλεον ἐς τὸν κόλπον τὸν ἐπὶ Παγασέων φέροντα. ἔστι δὲ χῶρος ἐν τῷ κόλπῳ τούτῳ τῆς Μαγνησίης, ἔνθα λέγεται τὸν Ἡρακλῆα καταλειφθῆναι ὑπὸ Ἰήσονός τε καὶ τῶν συνεταίρων ἐκ τῆς Ἀργοῦς ἐπ' ὕδωρ πεμφθέντα, εὖτ' ἐπὶ τὸ κῶας ἔπλεον ἐς Αἶαν τὴν Κολχίδα. ἐνθεῦτεν γὰρ ἔμελλον ὑδρευσάμενοι ἐς τὸ πέλαγος ἀφήσειν· ἐπὶ τούτου δὲ τῷ χώρῳ οὔνομα γέγονε Ἀφέται. ἐν τούτῳ ὦν ὅρμον οἱ Ξέρξεω ἐποιεῦντο.

ρϞδ'. Πεντεκαίδεκα δὲ τῶν νηῶν τουτέων ἔτυχόν τε ὕσταται πολλὸν ἐξαναχθεῖσαι, καί κως κατεῖδον τὰς ἐπ' Ἀρτεμισίῳ τῶν Ἑλλήνων νῆας. ἔδοξάν τε δὴ τὰς σφετέρας εἶναι οἱ βάρβαροι, καὶ πλέοντες, ἔπεσον ἐς τοὺς πολεμίους, τῶν ἐστρατήγεε ὁ ἀπὸ Κύμης τῆς

---

sinum qui ad Pagasas fert tenebant. In hoc Magnesiæ sinu locus est, in quo fertur Hercules, quum e navi Argo aquatum missus esset, derelictus fuisse ab Jasone atque a sociis, dum in Æam urbem Colchidis ad vellus navigarent. Illinc enim aquati in pelagus erant abituri, eaque de re nomen loco fertur esse Aphetæ.

194. Hoc in loco Xerxis naves stationem habuerunt: quarum quindecim, quæ longe ultimæ navigabant, prospectis Græcorum ad Artemisium navibus, ratæ suas esse, in medium earum hostilium navium delatæ sunt: quarum dux erat Sandoces Thamasiæ filius, Cymæ Æolidis præfectus: quem ante hæc tempora Darius in hoc

Αἰολίδος ὕπαρχος Σανδώκης ὁ Θαμασίου. τὸν δὴ πρότερον τουτέων βασιλεὺς Δαρεῖος ἐπ' αἰτίῃ τοιῆδε λαβὼν, ἀνεσταύρωσε, ἐόντα τῶν βασιληΐων δικαστέων, ὅτι ὁ Σανδώκης ἐπὶ χρήμασι ἄδικον δίκην ἐδίκασε. ἀνακρεμασθέντος ὦν αὐτοῦ, λογιζόμενος ὁ Δαρεῖος, εὗρέ οἱ πλέω ἀγαθὰ τῶν ἁμαρτημάτων πεποιημένα ἐς οἶκον τὸν βασιλήϊον. εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος, καὶ γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργασμένος εἴη, ἔλυσε. βασιλῆα μὲν δὴ Δαρεῖον οὕτω διαφυγὼν μὴ ἀπολέσθαι, περιῆν· τότε δὲ ἐς τοὺς Ἕλληνας καταπλώσας, ἔμελλε οὐ τοδεύτερον διαφυγὼν ἔσεσθαι. ὡς γὰρ σφεας εἶδον προσπλέοντας οἱ Ἕλληνες, μαθόντες αὐτέων τὴν γινομένην ἁμαρτάδα, ἐπαναχθέντες, εὐπετέως σφεας εἷλον.

---

crimine deprehensum cruci affixerat, quod quum e regiis judicibus esset, iniquam sententiam ob pecuniam tulerat; sed ejus in cruce suspensi Darius reputans plura peccatis esse beneficia in domum regiam collata, hoc reperiens, agnoscensque properantius se quam prudentius egisse, hominem solvit. Ita regem Darium elapsus, ut ab eo non occideretur, supererat; tunc vero in Græcos delatus, non iterum erat elapsurus: hos enim ad se cursum tenentes Græci ubi videre, cognito hominum errore, contra invecti, facile eas cepere.

ϱϟε΄. Ἐν τουτέων μιῇ Ἀρίδωλις πλέων ἥλω, τύραννος Ἀλαβάνδων τῶν ἐν Καρίῃ. ἐν ἑτέρῃ δὲ, ὁ Πάφιος στρατηγὸς Πενθύλος ὁ Δημονόου· ὃς ἦγε μὲν δυώδεκα νῆας ἐκ Πάφου, ἀποβαλὼν δέ σφεων τὰς ἕνδεκα τῷ χειμῶνι τῷ γενομένῳ κατὰ Σηπιάδα, μιῇ τῇ περιγινομένῃ καταπλέων ἐπ᾽ Ἀρτεμίσιον ἥλω. τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες τὰ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξεω στρατιῆς, ἀποπέμπουσι δεδεμένους ἐς τὸν Κορινθίων Ἰσθμόν.

ϱϟϛ΄. Ὁ μὲν δὴ ναυτικὸς τῶν βαρβάρων στρατὸς, παρὲξ τῶν πεντεκαίδεκα νεῶν, τῶν εἶπον Σανδώκεα στρατηγέειν, ἀπίκετο ἐς Ἀφέτας. Ξέρξης δὲ καὶ ὁ πεζὸς πορευθεὶς διὰ Θεσσαλίης καὶ Ἀχαιΐης, ἐσβεβληκὼς ἦν καὶ δὴ τριταῖος ἐς Μηλιέας· ἐν Θεσσα-

195. In quarum navium una captus est Aridolis, Alabandensium qui sunt in Caria tyrannus; in altera Penthylus Demonoi filius, dux Paphius, qui e Papho duodecim naves quum duxisset, amissis earum undecim tempestate, quæ ad Sepiadem extiterat, cum una quæ superabat tendens ad Artemisium, captus est. Hos Græci quæ volebant de Xerxis exercitu sciscitati, vinctos ad Corinthiorum Isthmum dimiserunt.

196. Cetera barbarorum classis, præter quindecim naves quibus præfuisse Sandocem dixi, ad Aphetas pervenit. Xerxes cum terrestribus copiis per Thessaliam et Achaiam iter faciens intraverat et quidem post triduum in Melienses: quum in Thessalia certamen equorum suorum fecisset, Thessalici equi-

λίη μὲν ἅμιλλαν ποιησάμενος ἵππων τῶν ἑωϋτοῦ, ἀποπειρώμενος καὶ τῆς Θεσσαλίης ἵππου, πυθόμενος ὡς ἀρίστη εἴη τῶν ἐν Ἕλλησι· ἔνθα δὴ αἱ Ἑλληνίδες ἵπποι ἐλίποντο πολλόν. τῶν μέν νυν ἐν Θεσσαλίῃ ποταμῶν, Ὀνόχωνος μοῦνος οὐκ ἀπέχρησε τῇ στρατιῇ τὸ ῥέεθρον, πινόμενος· τῶν δὲ ἐν Ἀχαιΐῃ ποταμῶν ῥεόντων, οὐδὲ ὅστις μέγιστος αὐτέων ἐστὶ Ἠπιδανὸς, οὐδὲ οὗτος ἀντέσχε, εἰ μὴ φλαύρως.

ρϟζ'. Ἐς Ἄλον δὲ τῆς Ἀχαιΐης ἀπικομένῳ Ξέρξῃ οἱ κατηγεμόνες τῆς ὁδοῦ βουλόμενοι τὸ πᾶν ἐξηγέεσθαι, ἔλεγόν οἱ ἐπιχώριον λόγον, τὰ περὶ τὸ ἱρὸν τοῦ Λαφυστίου Διὸς, ὡς Ἀθάμας ὁ Αἰόλου ἐμηχανήσατο Φρίξῳ μόρον σὺν Ἰνοῖ βουλεύσας· μετὰ δὲ, ὡς ἐκ θεο-

---

tatus experiendi gratia, illum optimum in Græcis esse edoctus: in eo autem certamine multo inferiores fuerunt equi Græci. Fluviorum porro qui sunt in Thessalia, solus Onochonus potanti exercitui non suffecit. Fluviorum autem Achaiæ quum maximus sit Apidanus, ne hic quidem suffecit, nisi maligne.

197. Xerxi ad Alum urbem Achaiæ tendenti, duces viæ cuncta referre cupientes, enarrabant id quod de templo Jovis Laphystii ab indigenis narratur: Athamantem Æoli filium, inito cum Ino consilio necem Phrixo machinatum: deinde Achæos ex oraculo tale certamen illius posteris proposuisse, ut qui ex eo genere maximus

προπίου Ἀχαιοὶ προτιθεῖσι τοῖσι ἐκείνου ἀπογόνοισι ἀέθλους τοιούσδε· ὃς ἂν ᾖ τοῦ γένεος τούτου πρεσβύτατος, τούτῳ ἐπιτάξαντες ἔργεσθαι τοῦ πρυτανηΐου, αὐτοὶ φυλακὰς ἔχουσι· Λήϊτον δὲ καλέουσι τὸ πρυτανήϊον οἱ Ἀχαιοί· ἢν δὲ ἐσέλθῃ, οὐκ ἔστι ὅκως ἔξεισι, πρὶν ἢ θύσεσθαι μέλλῃ· ὥστ᾽, ἔτι πρὸς τούτοισι, πολλοὶ ἤδη τῶν μελλόντων τουτέων θύσεσθαι, δείσαντες, οἴχοντο ἀποδράντες ἐς ἄλλην χώρην· χρόνου δὲ προϊόντος, ὀπίσω κατελθόντες, ἢν ἁλίσκωνται, ἐστέλλοντο ἐς τὸ πρυτανήϊον, ὡς θύεταί τε ἐξηγέοντο, στέμμασι πᾶς πυκασθεὶς, καὶ ὡς σὺν πομπῇ ἐξαχθείς. ταῦτα δὲ πάσχουσι οἱ Κυτισσώρου τοῦ Φρίξου παιδὸς ἀπόγονοι, διότι καθαρμὸν τῆς χώρης ποιευμένων Ἀχαιῶν ἐκ θεοπροπίου Ἀθάμαντα τὸν Αἰόλου, καὶ μελλόντων μιν θύειν, ἀπικόμε-

---

natu esset, huic aditu prytanei, quod leitum Achæi vocant, interdicentes ipsi excubias agunt; quod siquis intravisset, non prius exire posset quam mactandus esset. Ita multos, quum jam mactandi essent, eo metu in aliam profugisse regionem: interjecto deinde tempore quum reversi essent, si deprehenderentur in prytaneum mittebantur et quemadmodum mactarentur, referebant toto corpore infulis cooperto, et cum pompa educti. Hoc autem posteros Cytissori Phrixo geniti ob id pati, quod quum Achæi ad expiandam regionem elegissent ex oraculo Athamantem Æoli filium, eumque essent immola-

νος οὗτος ὁ Κυτίσσωρος ἐξ Αἴης τῆς Κολχίδος, ἐῤῥύσατο. ποιήσας δὲ τοῦτο, τοῖσι ἐπιγενομένοισι ἐξ ἑωϋτοῦ μῆνιν τοῦ θεοῦ ἐνέβαλε. Ξέρξης δὲ ταῦτα ἀκούσας, ὡς κατὰ τὸ ἄλσος ἐγένετο, αὐτός τε ἔργετο αὐτοῦ, καὶ τῇ στρατιῇ πάσῃ παρήγγειλε· τῶν τε Ἀθάμαντος ἀπογόνων τὴν οἰκίην ὁμοίως καὶ τὸ τέμενος ἐσέβετο.

ρϟη΄. Ταῦτα μὲν τὰ ἐν Θεσσαλίῃ, καὶ τὰ ἐν Ἀχαιΐῃ. ἀπὸ δὲ τουτέων τῶν χώρων ἤϊε ἐς τὴν Μηλίδα παρὰ κόλπον θαλάσσης, ἐν τῷ ἄμπωτίς τε καὶ ῥηχίη ἀνὰ πᾶσαν ἡμέρην γίνεται. περὶ δὲ τὸν κόλπον τοῦτόν ἐστι χῶρος πεδινὸς, τῇ μὲν, εὐρὺς, τῇ δὲ, καὶ κάρτα στεινός. περὶ δὲ τὸν χῶρον οὔρεα ὑψηλὰ καὶ ἄβατα περικληΐει πᾶσαν τὴν Μηλίδα

---

turi, Cytissorus iste ex Æa Colchide veniens illum liberavit: eoque facto posteris ejus iram dei fuisse injectam. Hæc quum audisset Xerxes, ubi ad lucum adfuit, et ipse ab eo abstinuit, et idem suis copiis imperavit, domumque posterorum Athamantis item ac fanum veneratus est.

198. Hæc in Thessalia Achaiaque; a quibus locis processit Xerxes in Melidem juxta maris sinum, ubi totum diem æstus atque reciprocatio fluctuum fit. Huic sinui circumjectus est locus campester, alibi spatiosus, alibi arctus admodum. Suntque ipsi campo circumjecti montes editi atque inaccessi, omnem Melidem cingentes regionem, quæ petræ Trachiniæ

γῆν, Τρηχίνιαι πέτραι καλεόμεναι. πρώτη μέν νυν πόλις ἐστι ἐν τῷ κόλπῳ ἰόντι ἀπ' Ἀχαιΐης, Ἀντικύρη· παρ' ἣν Σπερχήϊος ποταμὸς ῥέων ἐξ Ἐνιήνων, ἐς θάλασσαν ἐκδιδοῖ. ἀπὸ δὲ τούτου, διὰ εἴκοσί κου σταδίων ἄλλος ποταμὸς, τῷ οὔνομα κεῖται Δύρας, τὸν βοηθέοντα Ἡρακλέϊ καιομένῳ λόγος ἐστὶ ἀναφανῆναι. ἀπο δὲ τούτου, δι' ἄλλων εἴκοσι σταδίων ἄλλος ποταμός ἐστι, ὃς καλέεται Μέλας.

ρϞθ'. Τρηχὶς δὲ πόλις ἀπο τοῦ Μέλανος τούτου ποταμοῦ πέντε στάδια ἀπέχει. ταύτη δὲ καὶ εὐρύτατόν ἐστι πάσης τῆς χώρης ταύτης ἐκ τῶν οὐρέων ἐς θάλασσαν, κατ' ἃ Τρηχὶς πεπόλισται. δισχίλιά τε γὰρ καὶ δισμύρια πλέθρα τοῦ πεδίου ἐστί. τοῦ δὲ οὔρεος,

---

nominantur. Prima in sinu urbs ab Achaia euntibus est Anticyra, quam amnis Sperchius præterlabens, ex Enienibus in mare defluit. A quo alter amnis xx. ferme stadiis abest, cui nomen inditum est Dyras, quem fama est emersisse ad ferendam Herculi quum cremaretur opem. Ab hoc totidem stadiorum intercapedine alius amnis est, qui vocatur Melas. Unde urbs Trachis quinque stadia abest.

199. Illic est amplissimum regionis totius, ubi est sita urbs Trachis, spatium a montibus ad mare, utpote duorum et viginti millium plethrorum planitie; montis vero qui terram Trachiniam circumdat, est ad Trachi-

τὸ περικληΐει τὴν γῆν τὴν Τρηχινίην, ἔστι διασφὰξ πρὸς μεσαμβρίην Τρηχῖνος. διὰ δὲ τῆς διασφάγος Ἀσωπὸς ποταμὸς ῥέει παρὰ τὴν ὑπώρεην τοῦ οὔρεος.

σ΄. Ἔστι δὲ ἄλλος Φοίνιξ ποταμὸς οὐ μέγας πρὸς μεσαμβρίην τοῦ Ἀσωποῦ· ὃς ἐκ τῶν οὐρέων τουτέων ῥέων ἐς τὸν Ἀσωπὸν ἐκδιδοῖ. κατὰ δὲ τὸν Φοίνικα ποταμὸν στεινότατόν ἐστι· ἁμαξιτὸς γὰρ μίη μούνη δέδμηται. ἀπὸ δὲ τοῦ Φοίνικος ποταμοῦ πεντεκαίδεκα στάδιά ἐστι ἐς Θερμοπύλας. ἐν δὲ τῷ μεταξὺ Φοίνικος ποταμοῦ καὶ Θερμοπυλέων κώμη τέ ἐστι τῇ οὔνομα Ἀνθήλη κεῖται, παρ' ἣν δὴ παραρρέων ὁ Ἀσωπὸς, ἐς θάλασσαν ἐκδιδοῖ, καὶ χῶρος περὶ αὐτὴν εὐρὺς, ἐν τῷ Δήμητρός τε ἱρὸν Ἀμφικτυονίδος ἵδρυται,

---

nis meridiem anfractus, per quem Asopus circa radices montis defluit.

200. Ad cujus meridiem alius non magnus amnis est, nomine Phœnix ex his montibus in Asopum defluens. Juxta Phœnicem amnem est angustissimum: quippe ubi sola una via munita est, qua plaustrum agi potest. A flumine Phœnice ad Thermopylas quindecim stadiorum est intervallum: in isto autem spatio inter fluvium Phœnicem ac Thermopylas, in quo vicus est nomine Anthela, quem præterfluens Asopus in mare evolvitur: et ei locus spatiosus est circumjectus, ubi templum Cereris Amphictyonidis

καὶ ἕδραι εἰσὶ Ἀμφικτύοσι, καὶ αὐτοῦ τοῦ Ἀμφικτύονος ἱρόν.

σα΄. Βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ· οἱ δὲ δὴ Ἕλληνες, ἐν τῇ διόδῳ. καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων, Θερμοπύλαι· ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοίκων, Πύλαι. ἐστρατοπεδεύοντο μέν νυν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι. ἐπεκράτεε δὲ, ὁ μὲν τῶν πρὸς Βορῆν ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος· οἱ δὲ, τῶν πρὸς νότον καὶ μεσαμβρίην φερόντων ἐπὶ ταύτης τῆς ἠπείρου.

σβ΄. Ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ. Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται, καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων· ἐξ

---

extructum visitur, et sedilia Amphictyonibus, et ipsius Amphictyonis delubrum.

201. Ceterum rex Xerxes quidem in Trachinia Melidis castra habebat, Græci vero in transitu: qui locus a plerisque Græcorum vocatur Thermopylæ ab indigenis autem atque accolis Pylæ. Hæc erant utrorumque castrorum loca; Xerxe omnibus, quæ ad ventum boream spectant usque ad Trachinem, potito: Græcis, quæ in hac continente ad austrum et meridiem ferunt, tenentibus.

202. Qui hoc in loco Persam Græci opperiebantur, hi fuere, Spartanorum trecenti armati, Tegeatarum et Mantinensium mille, totidem ex utrisque; ex Orchomeno Arcadiæ centum

Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης, εἴκοσι καὶ ἑκατόν· καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης, χίλιοι· τοσοῦτοι μὲν Ἀρκάδων. ἀπὸ δὲ Κορίνθου, τετρακόσιοι· καὶ ἀπὸ Φλιοῦντος, διηκόσιοι· καὶ Μυκηναίων ὀγδώκοντα. οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν. ἀπὸ δὲ Βοιωτῶν, Θεσπιέων τε ἑπτακόσιοι, καὶ Θηβαίων τετρακόσιοι.

σγ΄. Πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ, καὶ Φωκέων χίλιοι. αὐτοὶ γάρ σφεας οἱ Ἕλληνες ἐπεκαλέσαντο, λέγοντες δι' ἀγγέλων ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἰσὶ ἡμέρην· ἡ θάλασσά τέ σφι εἴη ἐν φυλακῇ, ὑπ' Ἀθηναίων τε φρουρεομένη, καὶ Αἰγινητέων, καὶ τῶν ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντων,

viginti, ex reliqua Arcadia mille: tot quidem Arcades. A Corintho autem quadringenti: a Phliunte ducenti, et Mycenæorum octoginta: hi ex Peloponneso aderant: ex Bœotis autem Thespienses septingenti, Thebani quadringenti.

203. Præter hos evocati erant Locrenses Opuntii cum omni copia, et Phocensium mille. Ipsi enim Græci eos evocaverant, missis nunciis, qui dicerent, ipsos quidem præcursores aliorum venire, ceteros autem socios quotidie penes ipsos, atque etiam expectari: ac tutelam maris esse in Atheniensium præsidio Æeginetarumque, et eorum quibus res navalis injuncta

καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα, ἀλλ' ἄνθρωπον· εἶναι δὲ θνητὸν οὐδένα, οὐδὲ ἔσεσθαι, τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη· τοῖσι δὲ μεγίστοισι αὐτέων, μέγιστα. ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητὸν, ἀπὸ τῆς δόξης πεσέειν ἄν. οἱ δὲ, ταῦτα πυνθανόμενοι, ἐβοήθεον ἐς τὴν Τρηχῖνα.

σδ'. Τούτοισι ἔσαν μὲν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλιας ἑκάστων. ὁ δὲ θωϋμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος, Λακεδαιμόνιος ἦν, Λεωνίδης ὁ Ἀναξανδρίδεω, τοῦ Λέοντος, τοῦ Εὐρυκρατίδεω, τοῦ Ἀναξάνδρου, τοῦ Εὐρυκράτεος, τοῦ Πολυδώρου, τοῦ Ἀλκαμένεος, τοῦ Τηλέκλου, τοῦ Ἀρχέλεω, τοῦ Ἡγησίλεω,

---

esset: nec ipsis quippiam esse formidolosum: non enim deum esse qui bellum Græciæ inferret, sed hominem: nec mortalem quempiam aut esse aut fore, qui ex quo natus est, mali exsors sit: et ut quique maximi sunt, ita mala maxima: debere itaque fieri, ut quum mortalis esset, qui bellum inferret, ab opinione sit casurus. Hæc illi audientes, in Trachinem auxilio iere.

204. Erant his cum alii duces suæ quisque civitatis, tum vero, penes quem summa imperii erat, quem maxime admirabantur, Lacedæmonius Leonides, Anaxandridæ filius, qui Leontis, qui Eurycratidæ, qui Anaxandri, qui Eurycratis, qui Polydori, qui Alcamenis, qui Telecli, qui Archelai, Agesilai, qui Doryssi, qui Leobotæ, qui Echestrati, qui Agis, qui Eu-

τοῦ Δορύσσου, τοῦ Λεωβότεω, τοῦ Ἐχεστράτου, τοῦ Ἥγιος, τοῦ Εὐρυσθένεος, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος· κτησάμενος τὴν βασιληΐην ἐν Σπάρτῃ ἐξ ἀπροσδοκήτου.

σε΄. Διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος περὶ τῆς βασιληΐης. ἀποθανόντος δὲ Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος, ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληΐη· καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου, οὗτος γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς, καὶ δὴ καὶ εἶχε Κλεομένεος θυγατέρα. ὃς τότε ἤϊε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας τριηκοσίους, καὶ τοῖσι

---

rysthenis, qui Aristodemi, qui Aristomachi, qui Cleodæi, qui Hylli, qui Herculis filius fuit: adeptus ex inopinato Spartæ regnum.

205. Nam quum duo forent ei fratres natu majores, Cleomenes et Dorieus, aberat a cura regni adipiscendi: verum Cleomene sine virili sobole defuncto, et Dorieo jam non superstite, sed et ipso in Sicilia vita functo, ita regnum ad Leonidem pervenit, quia et major natu erat Cleombroto, is enim novissimus fuit Anaxandridæ filiorum, habebatque in matrimonio Cleomenis filiam, Qui tunc se ad Thermopylas contulit, delectis trecentis compositis

ἐτύγχανον παῖδες ἐόντες. παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεοντιάδης ὁ Εὐρυμάχου. τοῦδε δὲ εἵνεκα τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν. παρεκάλεε ὦν ἐς τὸν πόλεμον, θέλων εἰδέναι εἴτε συμπέμψουσι, εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. οἱ δὲ, ἀλλοφρονέοντες, ἔπεμπον.

σϛ΄. Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέπεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες οἱ ἄλλοι σύμμαχοι, στρατεύωνται, μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δὲ, Κάρνεια γάρ σφι ἦν ἐμποδὼν, ἔμελλον ὁρτασαν-

viris, et quibus filii erant: assumpseratque eos Thebanos, quorum de numero feci mentionem, quorum dux erat Leontiades Eurymachi filius. Hac de caussa Leonides dedit operam ut hos solos Græcorum adscisceret, quod eos maxime insimulabat cum Medis sentire. Evocabat igitur eo ad bellum, sciendi cupidus utrum simul mitterent auxilia, an ex professo abnegarent Græcorum societatem: sed illi aliud sentientes, tamen auxilia miserunt.

206. Eos qui cum Leonide fuere, primos miserunt Spartiatæ, ut his inspectis alii socii militiam sumerent, neve cum Medis etiam ipsi sentirent, si ipsos cunctari audirent. Ipsi autem celebratis Carniis, hæc enim sacra morabantur eos, re-

τες, καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ, κατὰ τάχος βοηθέειν πανδημεί. ὡς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνενῶντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τωὐτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα. οὔκων δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον, ἔπεμπον τοὺς προδρόμους.

σζʹ. Οὗτοι μὲν δὴ οὕτω διενενῶντο ποιήσειν. οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταῤῥωδέοντες, ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον, τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· Λεωνίδης δὲ, Φωκέων καὶ Λοκρῶν περισπερχεόντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ τε

---

lictis Spartæ custodibus, erant cum omni copia illuc celerrime ituri auxilio. Reliqui autem socii ad id agendum itidem animati, nam tempus Olympiadis in hæc negotia inciderat, haud suspicati tam cito apud Thermopylas bello decernendum, antecursores miserant.

207. Ita isti sibi faciendum statuerant. At ii Græci qui in Thermopylis erant, ubi ad ingressum Persa adventabat, metu perculsi de discedendo consultabant. Ac ceteri quidem Peloponnenses censebant faciendum, ut reversi in Peloponnesum, Isthmi custodiam agerent: huic autem sententiæ quum valde infensi essent Phocenses et Locri, Leonides suadebat illic perstandum, et nun-

μένειν ἐψηφίζετο, πέμπειν τε ἀγγέλους ἐς τὰς πόλιας, κελεύοντάς σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτέων ὀλίγων στρατὸν τῶν Μήδων ἀλέξασθαι.

σή. Ταῦτα βουλευομένων σφέων, ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα, ἰδέσθαι ὁκόσοι τέ εἰσι, καὶ ὅ, τι, ποιέοιεν. ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ, ὡς ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας, ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης ἐὼν γένος Ἡρακλεΐδης. ὡς δὲ προσήλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὐ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ

---

cios ad arcessenda subsidia per civltates dimittendos, tanquam se paucioribus quam ut Medorum exercitum arcerent.

208. Hæc isis consultantibus, Xerxes equitem quendam ad speculandum quot illic essent, et quid agerent, mittit. Audierat enim jam tum quum in Thessalia esset, eo loci contractam esse exiguam copiam, ejusque duces esse Lacedæmonios, atque Leonidem e genere Herculis. Eques ubi ad stationem Græcorum successit, contemplatur aspicitque non ille quidem omnes milites, nam eos, qui intra murum quem excitaverant excubabant ad ejus custodiam, intueri nequibat, sed eos qui extra murum agebant. Erant autem eo tempore exte-

ὅπλα ἔκειτο. ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. ταῦτα δὴ θεώμενος, ἐθώϋμαζε, καὶ τὸ πλῆθος ἐμάνθανε. μαθὼν δὲ πάντα ἀτρεκέως, ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην. οὔτε γάρ τις ἐδίωκε, ἀλογίης τε ἐνεκύρησε πολλῆς. ἀπελθὼν δὲ, ἔλεγε πρὸς Ξέρξεα τάπερ ὀπώπεε πάντα.

σθ'. Ἀκούων δὲ Ξέρξης, οὐκ εἶχε συμβαλέσθαι τὸ ἐὸν, ὅτι παρασκευάζοιντο ὡς ἀπολεύμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν. ἀλλ', αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μεταπέμψατο Δημάρητον τὸν Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ. ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τουτέων, ἐθέλων

---

rius manendi in Lacedæmoniorum statione vices: eos animadvertit partim se ludo gymnastico exercentes, partim comam pectentes. Hæc cum admiratione intuitus, etiam cognito eorum numero, ac omnibus plane perceptis, per otium sese recipit: nemo enim insequebatur, sed hominem magno contemptui habebant. Regressus ad Xerxem, cuncta quæ inspexerat refert.

209. Quæ Xerxes audiens, non poterat conjectare quod erat, eosque parare se, tanquam perituri, et perdituri, quantum possent. Sed, ridiculam enim rem facere sibi videbantur, arcessit Demaratum Aristonis filium, qui in exercitu erat: quem, ut venit, interrogavit

μαθέειν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. ὁ δὲ εἶπε, "Ἤκουσας μέν μευ καὶ πρότερον, εὖτε ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τουτέων· ἀκούσας δὲ, γέλωτά με ἔθευ, λέγοντα τάπερ ὥρων ἐκβησόμενα πρήγματα ταῦτα· ἐμοὶ γὰρ τὴν ἀληθηΐην ἀσκέειν ἀντία σεῦ, ὦ βασιλεῦ, ἀγὼν μέγιστός ἐστι· ἄκουσον δὲ καὶ νῦν. οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχεσόμενοι ἡμῖν περὶ τῆς ἐσόδου, καὶ ταῦτα παρασκευάζονται. νόμος γάρ σφι οὕτω ἔχων ἐστί· ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ, τότε τὰς κεφαλὰς κοσμέονται. ἐπίστασο δὲ, εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων τό σε, βασιλεῦ, ὑπομενέει χεῖ-

---

horum singula, cupiens nosse quid ab Lacedæmoniis ageretur. Et ille, Audisti, inquit, et antea me, dum adversus Græciam proficisceremur, de his viris: et quum audisses loquentem hæc ipsa, quæ eventura providebam, derisui habuisti: nam mihi summa contentio est adversus te, o rex, veritatem colere; audias vero nunc utique. Hi viri ad nobiscum pugnandum de introitu venere, atque hoc apparant: nam ita sese apud eos habet consuetudo: quoties adire vitæ periculum debent, tunc capita comunt: sed scito, si et hos et quod in Sparta residuum est, subegeris; nulla hominum gens alia est, quæ contra te, rex, audeat tollere manus. Etenim

" ρας ἀνταειρόμενον. νῦν γὰρ πρὸς βασιλη-
" ΐην τε καὶ καλλίστην πόλιν τῶν ἐν Ἕλλη-
" σι προσφέρεαι, καὶ ἄνδρας ἀρίστους."
κάρτα τε δὴ ἄπιστα Ξέρξῃ ἐφαίνετο τὰ λεγόμενα, καὶ δεύτερα ἐπειρώτα, ὅντινα τρόπον, τοσοῦτοι ἐόντες, τῇ ἑωϋτοῦ στρατιῇ μαχέσονται. ὁ δὲ εἶπε, "Ω βασιλεῦ, ἐμοὶ
" χρέεσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά
" τοι ταύτῃ ἐκβῇ, τῇ ἐγὼ λέγω."

σί. Ταῦτα λέγων, οὐκ ἔπειθε τὸν Ξέρξεα. τέσσερας μὲν δὴ παρεξῆκε ἡμέρας, ἐλπίζων αἰεὶ σφέας ἀποδρήσεσθαι. πέμπτῃ δὲ, ὡς οὐκ ἀπαλλάσσοντο, ἀλλά οἱ ἐφαίνοντο, ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεόμενοι, μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθείς. ἐντειλάμενός σφεας ζωγρήσαντας

nunc adversus regnum atque civitatem in Græcia pulcherrimam atque viros præstantissimos tendis. Et admodum hæc dicta incredibilia Xerxi videbantur, et denuo interrogabat, quo pacto tantillæ copiæ cum suis pugnabunt: ille vero inquit, o rex, utere me ut viro mendaci, nisi hæc tibi evenerint, prout ego dico.

210. Hæc dicens, tamen Xerxi non persuasit. Itaque quatriduum Xerxes supersedit, ratus eos illinc fugam esse facturos. Quinto die quum non discederent, atque ipse putaret impudentia illorum atque temeritate fieri, ut manerent, ira percitus, Medos in eos ac Cissios mittit, imperans ut illos caperent vivos et in conspectum

ἄγειν ἐς ὄψιν τὴν ἑωϋτοῦ. ὡς δ' ἐπέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί· ἄλλοι δ' ἐπεστήϊσαν, καὶ οὐκ ἀπέλαυνον, καίπερ μεγάλως προσπταίοντες. δῆλον δ' ἐποίευν παντί τεῳ, καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. ἐγίνετο δὲ ἡ συμβολὴ δι' ἡμέρης.

σια΄. Ἐπεί τε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήϊσαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήϊσαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεὺς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς, ἀλλὰ τὰ αὐτὰ, ἅτε ἐν στεινοπόρῳ τε χώρῳ

---

suum ducerent. Medi, ubi facto impetu in Græcos impressionem fecerunt, multi cadebant, aliisque supervenientibus nihil tamen depellebantur, etsi vehementer ingruerent: palam facientes aliis omnibus, et non minimum ipsi regi, penes ipsum quidem multos homines esse, at paucos viros. Fuit autem hic pugnæ congressus interdiu.

211. Post, ubi Medi aspere fuissent excepti, tum vero ipsi se subduxere, Persæque subeuntes excepere, immortales, quorum dux erat Hydarnes, rex appellavit, tanquam facile rem profligaturos. Ubi et hi cum Græcis congressi, nihilo magis quam Medi proficiebant, sed eodem modo, utpote in loco angusto, pugnantes, et brevioribus hastis quam Græci u-

μαχόμενοι, καὶ δόρασι βραχυτέροισι χρεόμενοι ἤπερ οἱ Ἕλληνες· καί οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἁλέες φεύγεσκον δῆθεν. οἱ δὲ βάρβαροι ὁρέωντες φεύγοντας, βοῇ τε καὶ πατάγῳ ἐπήϊσαν· οἱ δ᾽ ἂν καταλαμβανόμενοι, ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι· μεταστρεφόμενοι δὲ, κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων· ἔπιπτον δὲ καὶ αὐτέων τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου πειρεόμενοι, καὶ κατὰ τέλεα καὶ παντοίως προσβάλλοντες, ἀπήλαυνον ὀπίσω.

---

tentes, et nullus multitudinis erat usus: ibi Lacedæmonii dignam memoratu pugnam edebant, cum aliis in rebus ostentantes se peritos inter imperitos pugnare, tum vero in eo, quod quoties terga vertebant, conferti fugiebant. Quos barbari dum fugientes cernerent, cum vociferatione et strepitu ingruebant: at Græci deprehensi revertebantur, ut adversis pectoribus barbaros exciperent: et sic conversi quamvis Persarum innumeram multitudinem posternebant; aliquot tamen illic ex ipsis etiam Spartiatis occubuere. Persæ, posteaquam et catervatim et universis copiis introitum occupare conati, nihil tamen promovebant, iterum sese receperunt.

σιβ'. Ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεται βασιλῆα θηεύμενον, τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου, δείσαντα περὶ τῇ στρατιῇ. τότε μὲν οὕτω ἠγωνίσαντο. τῇ δ' ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον. ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντές σφεας κατατετρωματίσθαι τε, καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρασθαι, συνέβαλλον. οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἔσαν, καὶ ἐν μέρει ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ οὖρος ἐτάχθησαν, φυλάξοντες τὴν ἀτραπόν. ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον.

σιγ'. Ἀπορέοντος δὲ βασιλῆος ὅ, τι χρήσαιτο τῷ παρεόντι πρήγματι, Ἐπιάλτης ὁ

---

212. Fertur autem Xerxes, quum ad spectaculum adesset, in his pugnæ congressibus ter e solio resiluisse, quod videlicet exercitui suo timeret. Tunc igitur ita pugnarunt. Postridie autem nihilo melius barbari prœliati sunt. Ita enim pugnabant, ut qui existimarent illos, utpote paucos, saucios esse; eisque adhuc ad tollendas manus vires non superesse. At Græci eos excepere instructis ordinibus, ac per nationes digesti, et in suo quisque loco præter Phocenses, qui in monte ad iter obsidendum locati erant. Persæ ubi nihil aliud discriminis quam in pridiana pugna vident, abscedunt.

213. Ibi regem ancipitem quodnam in re præsenti consilium capesseret, Epialtes Eurydemi filius, vir Meliensis, allo-

Εὐρυδήμου, ἀνὴρ Μηλιεὺς, ἦλθέ οἱ ἐς λόγους, ὡς μέγα τι παρὰ βασιλῆος δοκέων οἴσεσθαι· ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ οὔρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ ὑπομείναντας Ἑλλήνων. ὕστερον δὲ δείσας Λακεδαιμονίους, ἔφυγε ἐς Θεσσαλίην· καί οἱ φυγόντι, ὑπὸ τῶν πυλαγόρων, τῶν Ἀμφικτυόνων ἐς τὴν Πυλαίην συλλεγομένων, ἀργύριον ἐπεκηρύχθη. χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ ἐς Ἀντικύρην, ἀπέθανε ὑπὸ Ἀθηνάδεω, ἀνδρὸς Τρηχινίου. ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι' ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω· ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἧσσον. Ἐπιάλτης μὲν οὕτω ὕστερον τούτεων ἀπέθανε.

---

quuturus adiit, tanquam magna aliqua re ab illo remunerandus, indicavitque ei tramitem qui per montem in Thermopylas ferebat: quo virtutem eorum Græcorum qui illic manserant, evertit. Is postea Lacedæmoniorum metu in Thessaliam profugit; sed cui profugo ab pylagoris, Amphictyonibus ad Pylæam congregatis, pecunia præconio pnblico imposita fuit: qui interjecto deinde tempore ab Athenade viro Trachinio, Anticyræ, nam illuc redierat, interemptus est. Quem, etsi ob aliam caussam, quam ego in sequentibus reddam, Athenades hic interemit, nihilo tamen secius a Lacedæmoniis præmio affectus est. Hunc in modum Epialtes postea interiit.

σιδ. Ἔστι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης τε ὁ Φαναγόρεω, ἀνὴρ Καρύστιος, καὶ Κορυδαλὸς Ἀντικυρεὺς, εἰσὶ οἱ εἴπαντες πρὸς βασιλῆα τούτους τοὺς λόγους, καὶ περιηγησάμενοι τὸ οὖρος τοῖσι Πέρσῃσι· οὐδαμῶς ἐμοίγε πιστός. τοῦτο μὲν γὰρ, τῷδε χρὴ σταθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων Πυλαγόροι ἐπεκήρυξαν οὐκ ἐπὶ Ὀνήτῃ τε καὶ Κορυδαλῷ ἀργύριον, ἀλλ' ἐπὶ Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως κου τὸ ἀτρεκέστατον πυθόμενοι· τοῦτο δὲ, φεύγοντα τὸν Ἐπιάλτην ταύτην τὴν αἰτίην οἴδαμεν. εἰδείη μὲν γὰρ ἂν καὶ ἐὼν μὴ Μηλιεὺς ταύτην τὴν ἀτραπὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ ὡμιληκὼς εἴη. ἀλλ' Ἐπιάλτης γάρ ἐστι ὁ περιηγησάμενος τὸ οὖρος καὶ κατὰ τὴν ἀτραπὸν, τοῦτον αἴτιον γράφω.

214. Est et alia quæ fertur fama, Onetem Phanagoræ filium, virum Carystium, et Corydalum Anticyrensem, fuisse, qui ea dixerint regi, et circum montem Persas duxisse. Quod apud me prorsus fide caret: nam partim hinc licet conjectemus, quod Græcorum pylagori non Onetæ et Corydali, sed Epialtæ Trachinii capiti pecunia et præconio periculum moverunt, id scilicet compertissimum habentes: partim quod Epialten ob hoc crimen scimus se fuga proripuisse. Sane quidem etiam, quanquam Onetes non fuisset vir Meliensis, tramitem illum novisset, si in ea regione multum versatus fuisset: sed enim Epialtes est, qui montem circumduxit, et quod ad tramitem pertinet, illi culpam adscribo.

σιέ. Ξέρξης δὲ, ἐπεί οἱ ἤρεσε τὰ ὑπέσχετο ὁ Ἐπιάλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενομένος, ἔπεμπε Ὑδάρνεα, καὶ τῶν ἐστρατήγεε Ὑδάρνης. ὡρμέατο δὲ περὶ λύχνων ἀφὰς ἐκ τοῦ στρατοπέδου. τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες· ἐξευρόντες δὲ, Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας, τότε ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν, ἔσαν ἐν σκέπῃ τοῦ πολέμου· ἔκ τε τόσου δὴ κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι.

σις΄. Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη. ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος· οὔνομα δὲ τῷ οὔρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τωὐτὸ κεῖται, Ἀνόπαια· τείνει δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥά-

215. Xerxes ea, quæ Epialtes se confecturum spondebat, probans, majorem in modum lætus, sine mora Hydarnem cum iis quibus præerat copiis misit. Ille circa primam facem e castris profectus est. Tramitem vero illum indigenæ Melienses vestigaverunt; eoque investigato Thessalos deduxere adversus Phocenses, eo tempore, quo Phocenses intersepta muro semita, erant in loco securo belli; et ex tanto tempore monstratus est nihil utilis Meliensibus.

216. Sic autem sese habet ille callis: incipit ab Asopo fluvio, qui per montis meat anfractum, cui monti ac viæ idem nomen est inditum Anopæa: hæc Anopæa per dor-

χιν τοῦ οὔρεος, λήγει δὲ κατά τε Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρίδων πρὸς τῶν Μηλιέων, καὶ κατὰ Μελάμπυγόν τε καλεόμενον λίθον, και κατὰ Κερκώπων ἕδρας· τῇ και τὸ στεινότατόν ἐστι.

σιζ'. Κατὰ ταύτην δὴ τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι τὸν Ἀσωπὸν διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες οὔρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ, τὰ Τρηχινίων. ἠώς τε δὴ διέφαινε, καὶ ἐγένοντο ἐπ' ἀκρωτηρίῳ τοῦ οὔρεος. κατὰ δὲ τοῦτο τοῦ οὔρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην, καὶ φρουρέοντες τὴν ἀτραπόν. ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἴρηται· τὴν

---

sum montis porrecta, desinit juxta Alpenum urbem, quæ prima est ex Locridibus, Melienses versus ac juxta lapidem nomine Melampygum ac juxta Cercopum sedes, ubi angustissimus est.

217. Hac ipsa via atque ita se habente Persæ Asopum transgressi, iter tota nocte fecerunt, habentes a dextra Oetæorum montes, a sinistra Trachiniorum; ac sub exortum auroræ in acumen montis evaserunt: quo in montis loco, sicut superius ostensum est, mille Phocensium armatorum præsidium excubabat, tum ad liberandam suam terram, tum ad callem tutandum: nam ingressus inferior a quibus dictum est custodiebatur, et hanc

δὲ διὰ τοῦ οὔρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον.

σιή. Ἔμαθον δέ σφεας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ οὖρος, πᾶν ἐὸν δρυῶν ἐπίπλεον. ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γενομένου πολλοῦ, ὡς οἰκὸς ἦν, φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσὶ, ἀνά τε ἔδραμον οἱ Φωκέες, καὶ ἐνέδυνον τὰ ὅπλα. καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θωΰματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον, ἐνεκύρησαν στρατῷ. ἐνθαῦτα Ὑδάρνης καταῤῥωδήσας μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο τὸν Ἐπιάλτεα ποδαπὸς εἴη ὁ στρατός· πυθόμενος δὲ ἀτρεκέως, διέτασσε

per montem viam ultro polliciti Leonidæ custodiebant Phocenses.

218. Hoc autem modo Phocenses ascendisse Persas didicerunt: nam quum montem isti ascenderent, prorsus latebant, quia totus erat obsitus quercubus. Quum vero esset cœli tranquillitas, edito multo strepitu, ut res postulabat, propter frondes sub pedibus stratas, Phocenses recurrerunt; et dum sibi arma induunt, confestim barbari adfuere: qui conspicati viros arma sibi circumdantes, obstupuere: quippe qui adversarium nihil sibi sperabant apparriturum, inciderunt in exercitum. Ibi Hydarnes formidans ne Phocenses forent Lacedæmonii, Epialten percontatus est, cujas ille effet exercitus. Mox certior rei fac-

τοὺς Πέρσας ὡς ἐς μάχην. οἱ δὲ Φωκέες, ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ οὔρεος τὸν κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὡρμήθησαν ἀρχὴν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον. οἱ δὲ ἀμφὶ Ἐπιάλτεα καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ οὖρος κατὰ τάχος.

σιθʹ. Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων, πρῶτον μὲν ὁ μάντις Μεγιστίης ἐσιδὼν ἐς τὰ ἱρὰ, ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον· ἐπεὶ δὲ καὶ αὐτόμολοι ἔσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον· οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν· τρίτοι δὲ οἱ ἡμεροσκόποι, καταδραμόντες ἀπὸ τῶν

---

tus, Persas tanquam in aciem instruxit, quorum sagittis multis crebrisque Phocenses quum ferirentur, fugerunt in verticem montis, gnari adversus se omnino illos venisse; et se præparabant tanquam perditi. Ita isti sentiebant. Verum Phocenses hos nihili æstimantes spernebant ii, qui circa Epialten et Hydarnem erant: ita illi rapide de monte descendunt.

219. At iis Græcis qui in Thermopylis erant, primum vates Megistias extis inspectis indicavit mortem illis cum aurora impendere. Postquam vero etiam transfugæ notum fecere Persarum montis circuitum, illi quidem adhuc noctu signum dederunt. Tertio loco significavere speculatores diurni, qui a verticibus montis decurrerant jam die illucescente.

ἄκρων, ἤδη διαφαινούσης ἡμέρης. ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι. οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν· οἱ δὲ ἀντέτεινον. μετὰ δὲ τοῦτο διακριθέντες, οἱ μὲν ἀπαλλάσσοντο, καὶ διασκεδασθέντες, κατὰ πόλις ἕκαστοι ἐτράποντο· οἱ δὲ αὐτέων ἅμα Λεωνίδῃ μένειν αὐτοῦ παρασκευάδατο.

σκ΄. Λέγεται δὲ ὡς αὐτὸς σφέας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν ἐς τὴν ἦλθον φυλάξοντες ἀρχήν. ταύτῃ καὶ μᾶλλον τῇ γνώμῃ πλεῖστός εἰμι, Λεωνίδην, ἐπεί τε ἤσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους, καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦ-

---

Hic inter se consultantes Græci, sententiis discrepabant: alii enim stationem non sinebant deserere, alii contra tendebant. Ita dissidentes partim abscedunt, dilapsique in suam quisque urbem se recipiunt: partim cum Leonide ad illic perstandum se accingunt.

220. Fertur autem ipse Leonides eos qui abscesscere dimisisse, ne perirent procurans; se vero et Spartiatas, qui adessent, non facturos e sua dignitate, si stationem desererent, ad quam venissent omnino custodituri. Ad hanc quoque ego magis opinionem vergo, Leonidem, posteaquam animadvertit socios minime promptos esse et nolle simul periculum subire, veniam eis abeundi dedisse, sibi vero decedere inhonestum putasse: permanenti autem il-

σαί σφεας ἀπαλλάσσεσθαι· αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν. μένοντι δὲ αὐτοῦ, κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. ἐκέχρηστο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεομένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων, ἢ τὸν βασιλῆα σφέων ἀπολέεσθαι. ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισι ἔχοντα χρᾷ, λέγοντα ὧδε,

Ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
Ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
Πέρθεται· ἢ τὸ μὲν οὐκὶ, ἀφ' Ἡρακλέος δὲ γενέθλης
Πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
Οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων.

---

hic ingentem gloriam futuram, et Spartæ felicitatem non defuturam. Siquidem jam inde ab initio moti hujus belli Spartiatis consulentibus a Pythia redditum erat oraculum, fore ut aut Sparta everteretur a barbaris, aut rex ipsorum occumberet. Quod oraculum hexametris illa versibus reddidit, in hæc verba,

Vobis, amplivagæ colitis qui mœnia Spartæ,
Aut urbs clara dabit Persa victore ruinam :
Aut, si non erit hoc, oriundus ab Hercule quidam
Flebitur extinctus rex in Lacedæmonis ora.
Nam neque taurorum neque vim feret ille leonum,

Ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἕ φημι
Σχήσεσθαι, πρὶν τῶν δ' ἕτερον διὰ πάντα δάσηται.

ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλόμενον κλέος καταθέσθαι μοῦνον Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον, ἢ γνώμῃ διενειχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους.

σκα'. Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε. οὐ γὰρ μοῦνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν μάντιν ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. ὁ δὲ, ἀποπεμπόμενος, αὐτὸς μὲν οὐκ ἀπελί-

---

Sed Jovis, et cujus reor haud tolerabile robur,
Alterutrum donec passim disserpserit horum.

Hæc reputantem Leonidem, cupidumque gloriæ solius comparandæ Spartiatis dimisisse socios potius, quam illos qui abierunt, in sententiis dissidentes, tam deformiter abisse.

221. Cujus rei non minimo id mihi testimonio est, quod non modo alios, sed etiam vatem Megistian, hujus expeditionis comitem, Acarnanem, qui a Melampode oriundus dicebatur, hunc qui etiam prædixit ex extis ea quæ erant illis eventura, propalam Leonides dimiserit, ne secum periret; at iste dimissus tamen ipse non deseruit, filium modo, qui ei

πετο, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε.

σκβ΄. Οἱ μὲν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι, οἴχοντό τε ἀπιόντες, καὶ ἐπείθοντο Λεωνίδῃ. Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. τουτέων δὲ, Θηβαῖοι μὲν, ἀέκοντες ἔμενον, καὶ οὐ βουλόμενοι· κατεῖχε γάρ σφεας Λεωνίδης, ἐν ὁμήρων λόγῳ ποιεύμενος· Θεσπιέες δὲ, ἑκόντες μάλιστα· οἳ οὐκ ἔφασαν, ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ' αὐτοῦ, ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. ἐστρατήγεε δὲ αὐτέων Δημόφιλος Διαδρόμεω.

σκγ΄. Ξέρξης δὲ, ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον, ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον

---

unicus erat, una militantem missum fecit.

222. Ita socii quos Leonides remittebat, ei obtemperantes abeire. Thespienses tantum atque Thebani perstitere cum Lacedæmoniis: Thebani quidem, inviti ac nolentes, quippe quos Leonides loco obsidum distinebat: Thespienses vero libentissimi, qui negaverunt se Leonide et iis qui cum eo erant desertis abscessuros: permanentesque una cum illo occubuerunt: quorum dux erat Demophilus, Diadromæ filius.

223. Xerxes, sub exortum solis libaminibus factis, tantisper moratus dum tempus esset, quo forum solet maxime frequens esse hominibus, e castris movit: etenim ita ab Epialte

ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω. ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι, καὶ βραχύτερος ὁ χῶρος πολλὸν ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις. οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξεα προσήϊσαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήϊσαν ἐς τὸ εὐρύτατον τοῦ αὐχένος. τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο. οἱ δὲ, ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο. τότε δὴ συμμίσγοντες ἔξω τῶν στεινῶν, ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων. ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας, ἐῤῥάπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτέων ἐς

---

erat mandatum: nam descensus a monte, compendiarius magis ac brevioris multo spatii quam circuitus atque ascensus. Et Barbari igitur, qui circa Xerxem erant, accessere, et Leonides ac Græci, qui cum eo erant, tanquam ad necem exitum facturi, jam multo magis quam a principio itidem progressi sunt ad faucium partem laxissimam: nam munitiones muri eos tutabantur. Et qui superioribus diebus in loca arcta prodeuntes dimicaverant, tunc extra angustias facto conflictu permulti barbarorum cadebant. Nam duces a tergo sui quisque agminis, flagellis quæ gestabant unumquemque cædebant, assidue ad procedendum adhortantes, unde multi

τὴν θάλασσαν, καὶ διεφθείροντο· πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ τῶν περιϊόντων τὸ οὖρος, ἀπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεόμενοί τε καὶ ἀτέοντες.

σκδ'. Δόρατα μέν νυν τοῖσι πλέοσι αὐτέων τηνικαῦτα ἐτύγχανε κατεηγότα ἤδη, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. Καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει, ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ ὀνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα· ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων. καὶ δὴ καὶ Περσέων πί-

---

eorum in mare decidentes absumebantur, multo plures invicem vivi proculcabantur, quum nulla pereuntis ratio haberetur. Quumque scirent impendere sibi necem ab iis qui montem circumiverant, quantum maxime roboris poterant id in barbaros ostendebant, ingruentes ac sese intrudentes.

224. Quorum plerisque quum jam lanceæ diffractæ essent, illi vero gladiis Persas obtruncabant, et Leonides in hoc discrimine cecidit, navata strenuissime opera, et cum eo alii insignes, multi vero etiam non insignes Spartani: quorum ego tanquam dignorum virorum nomina sciscitatus sum: sed et sciscitatus fui trecentorum omnium. Persarum quoque illic

πτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ οὐνομαστοὶ, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες, Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Δαρείῳ. ὁ δὲ Ἀρτάνης, Δαρείου μὲν τοῦ βασιλῆος ἦν ἀδελφεὸς, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεω παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ, τὸν οἶκον πάντα τὸν ἑωϋτοῦ ἐπέδωκε, ὡς μούνης οἱ ἐούσης ταύτης τέκνου.

σκέ. Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχεόμενοι, καὶ ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγένετο πολλός· ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν, καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. ὡς

---

cum multi alii celebres ceciderunt, tum vero duo Darii filii, Abrocomes et Hyperanthes: quos Darius ex Phrataguna Artanis filia sustulerat. Artanes autem, Darii regis frater, et Hystaspis filius nepos Arsamis erat, qui quum Dario filiam nuptum dedit, omnia insuper ei bona sua tradidit, ut qui esset unicæ pater.

225. Xerxis igitur duo fratres pugnantes occubuere; adeoque vehemens de cadavere Leonidæ fuit Persarum Lacedæmoniorumque conflictus, donec Græci et id virtute subtraxerunt, et quater adversarios fugere compulerunt, et eousque perstiterunt, dum ii qui cum Epialte erant adfuere. Quos ubi venire audierunt

δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος. ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος, ἐλθόντες, ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων. ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτέων ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν, ἐξ ἐναντίης ἐπισπόμενοι, καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες· οἱ δὲ, περιελθόντες πάντοθεν περισταδόν.

σκϛʹ, Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, ὅμως λέγεται ἄριστος ἀνὴρ γένεσθαι Σπαρτιήτης Διηνέκης. τὸν τόδε φασὶ

Græci, tum vero pugnandi ardor immutatus est, nam ad angustias viæ sese retro recepere: et prætergressi murum, quum venissent, in tumulo addensati sederunt cuncti, præter Thebanos. Est autem iste tumulus in ingressu, ubi nunc ad Leonidem stat lapideus leo. Hoc in loco defensantes se gladiis, quibus illi adhuc supererant, et manibus et oribus, barbari obruerunt incessentes; alii ex adverso urgentes, et munitionem muri diruentes; alii undique circumvenientes et circumstantes.

226. Lacedæmonii autem atque Thespienses quum tales extiterint, præstantissimus tamen extitisse fertur Dieneces Spartiata: quem, antequam

εἶπαι τὸ ἔπος πρὶν ἢ συμμίξαι σφέας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων ὡς ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι τὰ τοξεύματα τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν ἀποκρύπτουσι· τοσοῦτό τι πλῆθος αὐτέων εἶναι. τὸν δὲ, οὐκ ἐκπλαγέντα τούτοισι, εἶπαι, ἐν ἀλογίῃ ποιεύμενον τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον, ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη, καὶ οὐκ ἐν ἡλίῳ. ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα.

σκζ΄. Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοὶ, Ἀλφεός τε καὶ Μάρων, Ὀρσιφάντου παῖδες. Θε-

---

cum Medis confligeretur, hoc dictum dixisse aiunt: quum a quodam Trachinio audisset barbaros ubi emissuri essent arcus, præ multitudine sagittarum solem obducturos, tantam eorum esse copiam, adeo non his expavefactus est, ut parvi faciens Medorum turbam, responderit: Omnia sibi bona Trachinium hospitem nunciare, si Medis solem occultantibus sub umbra cum illis, et non in sole pugna ipsis futura esset. Hæc et alia hujusmodi dicta aiunt Dienecem, Lacedæmonium reliquisse monumenta.

227. Post hunc e Lacedæmoniis duo fratres præstantissimi feruntur fuisse, Alpheus et Maron, Orsiphanto geniti: e Thespiensibus autem excelluit

σπίεων δὲ εὐδοκίμεε μάλιστα τῷ οὔνομα ἦν Διθύραμβος, Ἁρματίδεω.

σκή. Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι ἢ ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε,

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
Ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται· τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ,

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο· τῷ δὲ μάντι, τόδε,

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοί·

---

maxime Dithyrambus Harmatidiæ filius.

228. His eo loci ubi ceciderunt sepultis, et iis sociis qui prius occubuerunt, quam a Leonide dimissi abierunt epigrammata his verbis inscripta sunt,

Terdecies centum hic certarunt millibus olim
E Peloponneso millia quarta virum.

Hæc universis superscripta sunt: ista peculiariter Spartiatis,

Nos Lacedæmoniis refer hic, peregrine, jacentes,
Illorum dictis dum damus obsequium.

Et Lacedæmoniis quidem istud: vati autem quod sequitur;

Nobilis hoc bustum est, Medi occidere, Megistæ,
Sperchium ad fluvium: non sed inultus obit.

Μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς,
Οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτυόνες εἰσὶ σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω, Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

σκθ'. Δύο δὲ τουτέων τῶν τριηκοσίων λέγεται Εὔρυτόν τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι, κοινῷ λόγῳ χρησαμένοισι, ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι τε ἔσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω, καὶ κατεκέατο ἐν Ἀλπηνοῖσι ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον· ἢ εἴγε μὴ ἐβούλοντο νοστῆσαι, ἀποθανέειν ἅμα τοῖσι ἄλλοισι· παρεόν σφι τουτέων τὰ ἕτερα ποιέειν, οὐκ

Qui vates obitum quamvis præsciret adesse,
Spartæ haud sustinuit deseruisse duces.

Qui hos inscriptionibus et cippis exornarunt, præter inscriptionem vatis Amphictyones fuere: at istud vatis Megistiæ, Simonides Leoprepis filius, propter hospitii jucunditatem inscripsit.

229. Ex his trecentis feruntur duo Euritus et Aristodemus, et quum liceret communi ratione utentibus aut salutem sibi parare Spartam euntibus, sicut erant e castris ab Leonide remissi, et decumbebant in Alpenis acerrime oculis laborantes; aut, si reverti recusarent, una cum aliis occumbere: quum liceret illis alterutrum facere,

ἐθελῆσαι ὁμοφρονέειν· ἀλλὰ γνώμῃ διενειχθέντας, Εὔρυτον μὲν πυθόμενον τὴν τῶν Περσέων περίοδον, αἰτήσαντά τε τὰ ὅπλα, καὶ ἐνδύντα, ἄγειν αὐτὸν κελεῦσαι τὸν εἵλωτα ἐς τοὺς μαχομένους· ὅκως δὲ αὐτὸν ἤγαγε, τὸν μὲν ἀγαγόντα, οἴχεσθαι φεύγοντα, τὸν δὲ, ἐσπεσόντα ἐς τὸν ὅμιλον, διαφθαρῆναι· Ἀριστόδημον δὲ, λειποψυχέοντα λειφθῆναι. εἰ μέν νυν ἦν μοῦνον Ἀριστόδημον ἀλγήσαντα ἀπονοστῆσαι ἐς Σπάρτην, ἢ καὶ ὁμοῦ σφεων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν ἐμοὶ, οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίην προσθέσθαι· νυνὶ δὲ τοῦ μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ, τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος, οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγκαίως σφι ἔχειν μηνίσαι μεγάλως Ἀριστοδήμῳ.

---

noluisse idem consilium sequi; sed quum discreparent, Eurytum quidem audita Persarum circuitione petiisse arma, et quum induisset jussisse hilotam ad pugnantes ducere: hunc ubi duxit, illum, qui duxerat, fugæ se mandantem abiisse, illum dato in agmen impetu occubuisse: Aristodemum vero præ ignavia remansisse. Quod si vel Aristodemus solus dolensque redisset Spartam, aut si pariter ambo reduces fuissent, videntur mihi Spartiatæ nullam iis pœnam irrogaturi fuisse; nunc autem altero eorum extincto, altero qui vicinus eidem prætextui, tamen occumbere noluerit, necessario debuisse magnopere irasci Aristodemo.

σλ΄. Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον ἐς Σπάρτην, καὶ διὰ πρόφασιν τοιήνδε· οἱ δὲ, ἄγγελλον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην, οὐκ ἐθελῆσαι, ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ, περιγενέσθαι· τὸν δὲ συνάγγελον αὐτοῦ, ἀπικόμενον ἐς τὴν μάχην, ἀποθανεῖν.

σλα΄, Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος, ὄνειδός τε εἶχε καὶ ἀτιμίην· πάσχων δὲ τοιάδε, ἠτίμωτο· οὔτέ οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιητέων, οὔτε διελέγετο. ὄνειδός τε εἶχε, ὁ τρέσας Ἀριστόδημος καλεόμενος. ἀλλ' ὁ μὲν ἐν τῇ ἐν Πλαταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενεχθεῖσάν οἱ αἰτίην.

---

230. Quidam hunc in modum et ob hanc causam Aristodemum sospitem rediisse Spartam aiunt. Alii autem ab exercitu pro nuncio missum, quum posset pugnæ quæ fiebat adesse, noluisse, sed moratum in via, fuisse superstitem: sociumque ejus, qui una mittebatur, in pugnam profectum oppetiisse.

231. Lacedæmonem igitur regressus Aristodemus probro et ignominia notatus est: qualia quum exciperet, erat infamis, neque eum quisquam Spartiatarum igni aut alloquio impertivit; et ignominiam subibat Aristodemus fugax appellatus. Verum hic omnem sibi objectam culpam in pugna apud Platæas gesta delevit.

σλβ'. Λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τουτέων, περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.

σλγ'. Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο, ὑπ' ἀναγκαίης ἐχόμενοι, πρὸς τὴν βασιλέος στρατιήν· ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δὴ τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνὸν, ἀποσχισθέντες τουτέων, χεῖράς τε προέτεινον, καὶ ἤϊσαν ἆσσον τῶν βαρβάρων· λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς καὶ μηδίζουσι, καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν βασιλέϊ·

---

232. Fertur item alius ex eisdem trecentis superfuisse, in Thessaliam pro nuncio missus cui nomen erat Pantitæ: sed Spartam reversus, quum opprobrium esset, sese strangulasse.

233. Thebani autem, quorum dux erat Leontiades, hactenus vi retenti a partibus Græcorum dimicaverunt adversus regis copias; at ubi res Persarum superiores esse animadverterunt, ibi a Græcis cum Leonida ad tumulum ire properantibus se dissociantes, manus ad barbaros protenderunt, ad eosque propius accesserunt, referentes, quod verissimum erat, sese cum Medis sentire, terramque et aquam regi inter primos dedisse; at vi coactos

ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι, ἐς Θερμοπύλας ἀπικοίατο, καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέϊ· ὥστε ταῦτα λέγοντες περιεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τῶν λόγων τουτέων μάρτυρας. οὐ μέντοι τάγε πάντα ηὐτύχησαν· ὡς γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόντας, τοὺς μέν τινας καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλεῦνας αὐτέων, κελεύσαντος Ξέρξεω, ἔστιζον στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω· τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτα ἐφόνευσαν Πλαταιέες, στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων, καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.

σλδ΄. Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο. Ξέρξης δὲ καλέσας Δημάρητον, εἰρώτα ἀρξάμενος ἐνθένδε, " Δη-

---

ad Thermopylas venisse, et a culpa cladis regi illatæ abesse. Hæc allegantes, quorum etiam Thessalos testes habebant, servati sunt: non tamen omnia fortunati fuerunt: nam barbari qui eos illuc progressos cepere, aliquos horum ut accedebant etiam obtruncaverunt; pluribus, jussu Xerxis, regias notas inusserunt, a duce Leontiade exorsi: cujus filium Eurymachum postea Platæenses, quadringentorum Thebanorum ducem, quum urbem ipsorum teneret, interemere.

234. Hunc quidem in modum Græci ad Thermopylas dimicaverunt. Xerxes autem accitum Demaratum interroga-

" μάρητε, ἀνὴρ εἶς ἀγαθός. τεκμαίρομαι
" δὲ τῇ ἀληθηΐῃ· ὅσα γὰρ εἶπας, ἅπαντα
" ἀπέβη οὕτω. νῦν δέ μοι εἰπὲ κόσοι τινὲς
" εἰσι οἱ λοιποὶ Λακεδαιμόνιοι, καὶ τουτέων
" ὁκόσοι τοιοῦτοι τὰ πολέμια; εἴτε καὶ ἅπαν-
" τες;" ὁ δ' εἶπε, "Ὦ βασιλεῦ, πλῆθος μὲν
" πάντων τῶν Λακεδαιμονίων πολλὸν, καὶ
" πόλις πολλαί· τὸ δὲ θέλεις ἐκμαθέειν, εἰ-
" δήσεις. ἔστι ἐν τῇ Λακεδαίμονι Σπάρτη,
" πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστα κῃ·
" οὗτοι πάντες εἰσὶ ὁμοῖοι τοῖσι ἐνθάδε μα-
" χεσαμένοισι· οἵγε μὴν ἄλλοι Λακεδαιμό-
" νιοι, τούτοισι μὲν οὐκ ὁμοῖοι, ἀγαθοὶ δέ."
εἶπε πρὸς ταῦτα Ξέρξης, " Δημάρητε, τέῳ
" τρόπῳ ἀπονητότατα τῶν ἀνδρῶν τουτέων
" ἐπικρατήσομεν; ἴθι, ἐξήγεο. σὺ γὰρ ἔχεις

---

vit, hinc orsus, Demarate, virum te bonum esse indicio veritatis experior; quæ enim dixisti, ea omnia perinde evenere: nunc hoc mihi pandito, Quotnam sunt reliqui Lacedæmonii, quotve eorum tales in re bellica? an et universi? Cui Demaratus, Multitudo, rex, inquit, Lacedæmoniorum omnium magna est, et civitates multæ. Quod autem discere vis, scies: Est enim in Lacedæmone urbs Sparta octo millium ferme virorum, qui omnes iis qui hic pugnavere sunt similes; ceteri Lacedæmonii, non illis quidem similes, sed tamen strenui. Ad hunc Xerxes, Demarate, inquit, agedum expone quo pacto hos viros minimo cum labore subigamus: tu

" αὐτέων τὰς διεξόδους τῶν βουλευμάτων,
" οἷα βασιλεὺς γενόμενος."

σλε΄. Ὁ δ' ἀμείβετο, "Ὦ βασιλεῦ, εἰ " μὲν δὴ συμβουλεύεαί μοι προθύμως, δίκαιόν " μέ σοί ἐστι φράζειν τὸ ἄριστον. εἰ τῆς ναυ- " τικῆς στρατιῆς νέας τριηκοσίας ἀποστεί- " λειας ἐπὶ τὴν Λάκαιναν χώρην. ἔστι δὲ ἐπ' " αὐτῇ νῆσος ἐπικειμένη, τῇ οὔνομά ἐστι Κύ- " θηρα· τὴν Χίλων, ἀνὴρ παρ' ἡμῖν σοφώτα- " τατος γενόμενος, κέρδος μέζον ἔφη εἶναι " Σπαρτιήτῃσι κατὰ τῆς θαλάσσης κατα- " δεδυκέναι μᾶλλον ἢ ὑπερέχειν, αἰεί τι " προσδοκῶν ἀπ' αὐτῆς τοιοῦτο ἔσεσθαι οἷόν " τι ἐγὼ ἐξηγέομαι· οὔτι τὸν σὸν στόλον προ- " ειδὼς, ἀλλὰ πάντα ὁμοιώς φοβεόμενος ἀν- " δρῶν στόλον. ἐκ ταύτης ὦν τῆς νήσου ὁρ- " μεόμενοι, φοβεόντων τοὺς Λακεδαιμονίους.

---

namque calles quo tendant eorum consilia, utpote quorum rex fuisti.

235. Cui Demaratus, Quum, inquit, me, O rex, libenter consulas, æquum est me tibi expromere, quod sit optimum; nempe, si trecentas naves ex navali copia in oram Lacedæmoniam mittas: adjacet autem illi insula nomine Cythera: quam obrui mari quam extare conducibilius esse Spartiatis Chilon aiebat, vir apud nos sapientissimus: videlicet expectans semper ab ea aliquid tale futurum, quale nunc ego expono; non ille quidem tuam classem prævidens, sed quamcunque similiter extimescens. Ex

" παροίκου δὲ πολέμου σφι ἐόντος οἰκηΐου,
" οὐδὲν δεινοὶ ἔσονταί τοι, μὴ τῆς ἄλλης
" Ἑλλάδος ἁλισκομένης ὑπὸ τοῦ πεζοῦ,
" βοηθέωσι ταύτῃ. καταδουλωθείσης δὲ τῆς
" ἄλλης Ἑλλάδος, ἀσθενὲς ἤδη τὸ Λακω-
" νικὸν μοῦνον λείπεται. ἢν δὲ ταῦτα μὴ
" ποιῇς, τάδε τοι προσδόκα ἔσεσθαι· ἔστι τῆς
" Πελοποννήσου ἰσθμὸς στεινὸς· ἐν τούτῳ τῷ
" χώρῳ πάντων Πελοποννησίων συνομοσάντων
" ἐπὶ σοὶ, μάχας ἰσχυροτέρας ἄλλας τῶν
" γενομένων προσδέκεο ἔσεσθαί τοι. ἐκεῖνο δὲ
" ποιήσαντι, ἀμαχητὶ ὅ, τε ἰσθμὸς οὗτος
" καὶ αἱ πόλις προσχωρήσουσι."

σλϛʹ. Λέγει μετὰ τοῦτον Ἀχαιμένης, ἀδελφεός τε ἐὼν Ξέρξεω, καὶ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς, παρατυχών τε τῷ λόγῳ,

---

hac igitur insula exorti tui Lacedæmonios territent. Ita illi ex vicino nacti domesticum bellum, nihil tibi erunt timendi, ne ceteræ Græciæ, quum a tuis pedestribus copiis expugnatur, auxilia ferant: subacta autem reliqua Græcia, Laconica sola jam linquitur invalida. Quod nisi feceris, hoc fore expecta: Est Peloponnesi arctus isthmus, quo in loco Peloponnensibus omnibus adversum te conjuratis, alia tibi prœlia superioribus atrociora futura expecta. At si illud feceris, citra prœlium est isthmus hic et civitates tibi se dedent.

236. Post hunc Achæmenes, Xerxis frater, classis præfectus, quum ei colloquio interesset, veritus ne Xerxes ad id agen-

καὶ δείσας μὴ ἀναγνωσθῇ Ξέρξης ποιέειν ταῦτα, "Ὦ βασιλεῦ, ὁρέω σε ἀνδρὸς ἐνδε-
"κόμενον λόγους, ὅς φθονέει τοι εὖ πρήσ-
"σοντι, ἢ καὶ προδιδοῖ πρήγματα τὰ σά·
"καὶ γὰρ δὴ καὶ τρόποισι τοιούτοισι χρεό-
"μενοι οἱ Ἕλληνες χαίρουσι· τοῦ τε εὐτυ-
"χέειν φθονέουσι, καὶ τὸ κρέσσον στυγέουσι.
"εἰ δ' ἐπὶ τῇσι παρεούσῃσι τύχῃσι, τῶν νέες
"νεναυηγήκασι τετρακόσιαι, ἄλλας ἐκ τοῦ
"στρατοπέδου τριηκοσίας ἀποπέμψεις περι-
"πλώειν Πελοπόννησον, ἀξιόμαχοί τοι γί-
"νονται οἱ ἀντίπαλοι· ἁλὴς δὲ ἐὼν ὁ ναυτι-
"κὸς στρατὸς, δυσμεταχείριστός τε αὐτοῖσι
"γίνεται, καὶ ἀρχὴν οὐκ ἀξιόμαχοί τοι
"ἔσονται· καὶ πᾶς ὁ ναυτικὸς τῷ πεζῷ ἀρή-
"ξει, καὶ ὁ πεζὸς τῷ ναυτικῷ, ὁμοῦ πορευό-

---

dum induceretur, Animadverto, inquit, te, o rex, verba admittere viri, qui tibi prospere agenti invidet, aut etiam res tuas prodit. His enim moribus uti Græci gaudent, ut et fortunato invideant et meliorem oderint: Quod si e præsenti conditione, quum naves quadringentæ naufragium fecerint, trecentas alias e cetera classe miseris ad obeundam Peloponnesum, fiunt nobis adversarii pares ad decertandum: at si conjuncta classis fuerit, inoppugnabilis illis reddetur, et omnino nobis illi impares erunt: simulque omnis exercitus nauticus terrestri, et invicem terrestris, una iter faciens, nautico erit auxilio. Quos si distraxeris, neque tu illis usu

"μενος· εἰ δὲ διασπάσεις, οὔτε σὺ ἔσεαι "κείνοισι χρήσιμος, οὔτε κεῖνοι σοί. τὰ "σεωϋτοῦ δὲ τιθέμενος εὖ, γνώμην ἔχε τὰ "τῶν ἀντιπολέμων μὴ ἐπιλέγεσθαι πρήγμα-"τα, τῇ τε στήσονται τὸν πόλεμον, τά τε "ποιήσουσι, ὅσοι τε πλῆθος εἰσι· ἱκανοὶ γὰρ "ἐκεῖνοί γε αὐτοὶ ἑωϋτῶν πέρι φροντίζειν "εἰσὶ, ἡμεῖς δὲ ἡμέων ὡσαύτως. Λακεδαι-"μόνιοι δὲ, ἢν ἴωσι ἀντία Πέρσῃσι ἐς μά-"χην, οὐδὲν τὸ παρεὸν τρῶμα ἀνιεῦνται."

σλζ΄. Ἀμείβεται Ξέρξης τοῖσδε, "Ἀ-"χαίμενες, εὖ τέ μοι δοκέεις λέγειν, καὶ "ποιήσω ταῦτα. Δημάρητος δὲ λέγει μὲν "τὰ ἄριστα ἔλπεται εἶναί ἐμοι, γνώμῃ μέν "τοι ἑσσοῦται ὑπὸ σεῦ. οὐ γὰρ δὴ ἐκεῖνό γε "ἐνδέξομαι, ὅκως οὐκ εὐνοέει τοῖσι ἐμοῖσι

---

eris, neque illi tibi: sed tua ipsius bene constituens animo age, ut adversariorum res non perpendas, vel ubi bellum gesturi sint, vel quæ acturi, vel quot numero sint. Illi enim soli ad sibi ipsis prospiciendum sufficiunt, et nos itidem ad consulendum nobis. Quod si Lacedæmonii adversus Persas in pugnam ibunt, præsens hoc vulnus minime sanabunt.

237. Ad hæc subjiciens Xerxes, Recte, inquit, Achæmenes, mihi videris dicere: quæ et faciam. Demaratus, quod optimum ille quidem mihi sperat esse, id suadet: ejus tamen sententia a tua superatur. Neque enim illud admitto, eum nolle rebus meis bene consultum, ut ex iis, quæ antea ab eo dicta sunt, et ex ipsa re conjecto. Quoniam civis quidem civi se-

" πρήγμασι, τοῖσι τε λεγομένοισι πρότερον
" ἐκ τούτου σταθμώμενος, καὶ τῷ ἐόντι ὅτι
" πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει,
" καὶ ἔστι δυσμενὴς τῇ σιγῇ· οὐδ' ἂν συμ-
" βουλευομένου τοῦ ἀστοῦ, πολιήτης ἀνὴρ
" τὰ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο, εἰ
" μὴ πρόσω ἀρετῆς ἀνήκοι· σπάνιοι δ' εἰσὶ
" οἱ τοιοῦτοι· ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντι
" ἐστὶ εὐμενέστατον πάντων, συμβουλευομέ-
" νου τε ἂν συμβουλεύσειε τὰ ἄριστα. οὕ-
" τω ὦν κακολογίης πέρι τῆς ἐς Δημάρητον,
" ἐόντος ἐμοὶ ξείνου, ἔχεσθαί τινα τοῦ λοι-
" ποῦ κελεύω."

σλή. Ταῦτα εἴπας Ξέρξης διεξήϊε διὰ τῶν νεκρῶν καὶ Λεωνίδεω, ἀκηκοὼς, ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, ἐκέλευσε ἀποταμόντας τὴν κεφαλὴν ἀνα-

---

cundis rebus prædito invidet, et in taciturnitate eum male odit: neque quidquam civi consultanti, vir civis, quæ optima sibi videntur, suadeat; nisi prope accesserit ad virtutem, quales pauci sunt. Hospes autem hospiti prospera fortuna utenti, omnium est benevolentissimus, eique consultanti optima consuluerit. Quapropter ab insectatione in Demaratum, quum sit hospes mihi, posthac abstinere jubeo.

238. Hæc Xerxes loquutus, inter cæsos transiit, et præter Leonidem: quem quum audisset Lacedæmoniorum regem eundemque ducem fuisse, jussit, postquam abcidissent caput, in

σταυρῶσαι. δῆλά μοι πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι, ἐν δὲ δὴ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βασιλεὺς Ξέρξης πάντων δὴ μάλιστα ἀνδρῶν ἐθυμώθη ζώοντι Λεωνίδῃ. οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα παρηνόμησε· ἐπεὶ τιμᾷν μάλιστα νομίζουσι τῶν ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ πολέμια. οἱ μὲν δὴ ταῦτα ἐποίευν τοῖσι ἐπετέτακτο ποιέειν.

σλθ΄. Ἄνειμι δὲ ἐκεῖσε τοῦ λόγου τῇ μοι πρότερον ἐξέλιπε. ἐπύθοντο Λακεδαιμόνιοι ὅτι βασιλεὺς στέλλοιτο ἐπὶ τὴν Ἑλλάδα, πρῶτοι, καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν, ἔνθα δή σφι ἐχρήσθη τὰ ὀλίγῳ πρότερον εἶπον· ἐπύθοντο δὲ τρόπῳ θωϋμασίῳ. Δημάρητος γὰρ ὁ Ἀρίστωνος,

crucem tolli. Et mihi cum multis quidem aliis indiciis, tum hoc non minimo factum fuit manifestum, regem Xerxem maxime omnium excanduisse in Leonidem viventem.: nam alioqui nunquam in defunctum hoc genere deliquisset; quum ex omnibus, quos ego novi, hominibus, Persæ maxime soleant viros in re militari præstantes honore afficere.

239. Illi igitur quibus imperatum erat, id exequuti sunt. Redeo ad eam narrationem unde antea defecit. Lacedæmonii primi regem adversus Græciam tendere perceperunt, atque ita Delphos ad oraculum miserunt: ubi responsum est id redditum, cujus paulo ante memini. Perceperunt autem miro modo. Demaratus enim Aristonis filius, qui profugit ad

φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι. πάρεστι δὲ εἰκάζειν εἴτε εὐνοίῃ ταῦτα ἐποίησε, εἴτε καὶ καταχαίρων. ἐπεί τε γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι ὁ Δημάρητος, καὶ πυθόμενος ταῦτα, ἠθέλησε Λακεδαιμονίοισι ἐξαγγεῖλαι. ἄλλως μὲν δὴ οὐκ εἶχε σημῆναι· ἐπικίνδυνον γὰρ ἦν μὴ λαμφθείη· ὁ δὲ, μηχανᾶται τοιάδε· δελτίον δίπτυχον λαβὼν, τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτα ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέος γνώμην· ποίησας δὲ ταῦτα, ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον, μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. ἐπεὶ δὲ καὶ ἀπίκετο ἐς τὴν Λα-

---

Medos, non ille erat Lacedæmoniis benevolus, ut ego quidem arbitror, et ratio mecum militat tamen hoc fecit, sive in hoc bene illis consultum vellet, ut conjectare licet, sive quod insultaret. Nam posteaquam Xerxes statuit adversus Græcam sumere expeditionem, id Demaratus qui Susis erat, quum accepisset, censuit Lacedæmoniis esse indicandum: sed quum aliter nequiret, quippe periculosum erat, ne deprehenderetur, hanc rem commentus est. Sumptis duplicium paginarum pugillaribus, ceram illinc eradit: deinde in eorum ligno consilium regis exarat: quod litteris exaratum, rursus cera inducit, nequid negotii apud viarum custodes exhiberent pugillares vacui, qui ferrentur. Sed et ubi Lacedæmonem alla-

κεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ, Γοργὼ, ὑπέθετο, ἐπιφρασθεῖσα αὐτὴ, τὸν κηρὸν κνᾷν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. πειθόμενοι δὲ, εὗρον, καὶ ἐπελέξαντο, ἔπειτα δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν.

---

ti sunt, non poterant Lacedæmonii conjectura adsequi, antequam, ut ego accipio, Cleomenis filia, eademque Leonidæ uxor, Gorgo, illos edocuit sola ipsa, quum excogitavisset, jubens ceram eradi: fore enim ut litteras in ligno reperirent. Ita ei auscultantes litteras repertas legerunt, easque deinde ad alios Græcos miserunt.

ΟΥΡΑΝΙΑ.

ΗΡΟΔΟΤΟΥ
ΑΛΙΚΑΡΝΗΣΣΗΟΣ
ΙΣΤΟΡΙΩΝ
ΟΓΔΟΗ,
ΕΠΙΓΡΑΦΟΜΕΝΗ
ΟΥΡΑΝΙΑ.

ΤΑΥΤΑ μὲν δὴ οὕτω λέγεται γενέσθαι. οἱ δὲ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες, ἔσαν οἵδε. Ἀθηναῖοι μὲν, νέας παρεχόμενοι ἑκατὸν καὶ εἴκοσι καὶ ἑπτά· ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης Πλαταιέες, ἄπειροι τῆς

HERODOTI
HALICARNASSEI
HISTORIARUM
LIBER OCTAVUS,
QUI INSCRIBITUR
URANIA.

1. Atque hæc quidem ita gesta dicuntur esse. Græci autem quibus res navalis delegata erat, hi fuere Athenienses, qui naves centum et septem viginti præbuere; sed quis virtute et promptitudine stimulante, Platæenses rei nauticæ

ναυτικῆς ἐόντες, συνεπλήρουν τοῖσι Ἀθηναίοισι τὰς νέας. Κορίνθιοι δὲ τεσσεράκοντα νέας παρείχοντο· Μεγαρέες δὲ, εἴκοσι· καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι, Ἀθηναίων παρεχόντων σφι τὰς νέας. Αἰγινῆται δὲ, ὀκτωκαίδεκα· Σικυώνιοι δὲ, δυοκαίδεκα· Λακεδαιμόνιοι δὲ, δέκα· Ἐπιδαύριοι δὲ, ὀκτώ· Ἐρετριέες δὲ, ἑπτά· Τροιζήνιοι δὲ, πέντε· Στυρέες δὲ, δύο· καὶ Κεῖοι, δύο τε νέας, καὶ πεντηκοντέρους δύο· Λοκροὶ δέ σφι οἱ Ὀπούντιοι ἐπεβώθεον πεντηκοντέρους ἔχοντες ἑπτά.

β'. Ἔσαν μὲν ὦν οὗτοι οἱ στρατευόμενοι ἐπ' Ἀρτεμίσιον. εἴρηται δέ μοι καὶ ὅσον τι πλῆθος ἕκαστοι τῶν νεῶν παρείχοντο. ἀριθμὸς δὲ τῶν συλλεχθεισέων νεῶν ἐπ' Ἀρτεμίσιον, ἦν, παρὲξ τῶν πεντηκοντέρων, διηκόσιαι καὶ

---

inexperti, propugnatoribus instruxerunt. Corinthii, qui attulere naves quadraginta: Megarenses, qui viginti. Chalcidenses totidem sibi ab Atheniensibus præbitas armaverunt: Æginetæ duodeviginti: Sicyonii duodecim, Lacedæmonii, decem: Epidaurii, octo: Eretrienses, septem: Trœzenii, quinque, Styreenses, duas: Cei, totidem, cum totidem navigiis quinquagenum remorum. Quibus auxiliares erant Locri Opuntii cum septem navibus L. remorum.

2. Hæ naves ad Artemisium in statione erant: quarum quot quique præbuerint, a me dictum est. Universarum vero præter naves L. remorum, ad Artemisium coactarum, numerus fuit ducentarum septuaginta unius. His ducem, penes

ἑβδομήκοντα καὶ μία. τὸν δὲ στρατηγὸν τὸν τὸ μέγιστον κάρτος ἔχοντα, παρείχοντο Σπαρτιῆται, Εὐρυβιάδεα τὸν Εὐρυκλείδεω· οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν, ἢν μὴ ὁ Λάκων ἡγεμονεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν τὸ μέλλον ἔσεσθαι στράτευμα.

γ΄. Ἐγένετο γὰρ κατ' ἀρχὰς λόγος, πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν ἐπὶ συμμαχίην, ὡς τὸ ναυτικὸν Ἀθηναίοισι χρεὼν εἴη ἐπιτρέπειν. ἀντιβάντων δὲ τῶν συμμάχων, εἶκον οἱ Ἀθηναῖοι, μέγα πεποιημένοι περιεῖναι τὴν Ἑλλάδα· καὶ γνόντες, εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς ἀπολέεται ἡ Ἑλλάς· ὀρθὰ νοεῦντες. στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν ἐστι, ὅσῳ πόλεμος

---

quem summa imperii esset, Spartiatæ præbuerunt Eurybiadem Euryclidæ filium. Nam socii negaverunt se, nisi Lacon esset imperator, sequuturos esse Athenienses ductores, sed exercitum, qui futurus erat, soluturos.

3. Etenim jam inde ab initio, antequam in Siciliam ad societatem ineundam mitteretur, agitatum sermone erat, tanquam expediret rem nauticam Atheniensibus permittere: ceterum recusantibus sociis, cessere Athenienses, quod magni facerent Græciam superesse; quam intelligebant esse perituram, si de ducatu contenderent; recte sentientes. Nam intestina seditio tanto deterior est bello, quod concorditer geritur,

εἰρήνης. ἐπιστάμενοι ὦν αὐτὸ τοῦτο, οὐκ ἀντέτεινον, ἀλλ' εἶκον μέχρι ὅσου κάρτα ἐδέοντο αὐτέων, ὡς διέδεξαν· ὡς γὰρ δὴ ὠσάμενοι τὸν Πέρσεα, περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποιεῦντο, πρόφασιν τὴν Παυσανίεω ὕβριν προϊσχόμενοι, ἀπείλοντο τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο.

δ'. Τότε δὲ οὗτοι οἱ καὶ ἐπ' Ἀρτεμίσιον Ἑλλήνων ἀπικόμενοι, ὡς εἶδον νέας τε πολλὰς καταχθείσας ἐς τὰς Ἀφέτας, καὶ στρατιῆς ἅπαντα πλέα, ἐπεὶ αὐτοῖσι παρὰ δόξαν τὰ πρήγματα τῶν βαρβάρων ἀπέβαινε ἢ ὡς αὐτοὶ κατεδόκεον, καταῤῥωδήσαντες, δρησμὸν ἐβουλεύοντο ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς τὴν Ἑλλάδα. γνόντες δέ σφεας οἱ Εὐβοέες ταῦ-

quanto bellum pace. Hoc itaque ipsum intelligentes, non repugnaverunt, sed cesserunt, usquedum magnopere illis indigebant, quemadmodum ostenderunt. Siquidem posteaquam expulso Persa jam de illius terra certabant, superbiam Pausaniæ caussati, Lacedæmonios ducatu abdicaverunt. Verum hæc posterius gesta sunt.

4. Tunc autem ii Græci, qui ad Artemisium se contulerant, ubi viderunt et multum navium ad Aphetas esse contractum, et omnia plena militum, perculsi metu, quod præter opinionem suam expectationemque res barbarorum succederent, consultabant de facienda fuga ex Artemisio intus in Græciam. Quorum consulta-

τα βουλευομένους, ἐδέοντο Εὐρυβιάδεω προσμεῖναι χρόνον ὀλίγον, ἔστ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκθέωνται. ὡς δ' οὐκ ἔπειθον, μεταβάντες, τὸν Ἀθηναίων στρατηγὸν πείθουσι Θεμιστοκλέα ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι, ἐπ' ᾧ τε καταμείναντες πρὸ τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην.

ε΄. Ὁ δὲ Θεμιστοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει. Εὐρυβιάδῃ τουτέων τῶν χρημάτων μεταδιδοῖ πέντε τάλαντα, ὡς παρ' ἑωϋτοῦ δῆθεν διδούς. ὡς δέ οἱ οὗτος ἀνεπέπειστο, Ἀδείμαντος γὰρ ὁ Ὠκύτου, Κορίνθιος στρατηγὸς, τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλώσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου, καὶ οὐ παραμενέειν· πρὸς δὲ τοῦτον εἶπε ὁ Θεμιστοκλέης ἐπομόσας, " Οὐ σύ γε ἡμέ-

---

tione cognita, Eubœenses obsecrabant Eurybiadem ut exiguum temporis præstolaretur, usquedum ipsi liberos atque domesticos subducerent. Ubi non persuadent, ad ducem Atheniensium Themistoclem transgressi, paciscuntur cum eo triginta talentis, ut manentes ante Eubœam pugna navali decreturi essent.

5. Themistocles autem hac ratione Græcos retinuit. Eurybiadæ ex hac pecunia, quinque talenta impertit, tanquam de suo donans scilicet: hoc persuaso Adimantum Ocyti filium Corinthium ducem, qui solus reluctabatur negans se permansurum, sed ab Artemisio profecturum, ita alloquutus est jurejurando interposito; Tu vero

" ας ἀπολείψεις. ἐπεί τοι ἐγὼ μέζω δῶρα " δώσω, ἢ βασιλεὺς ἄν τοι ὁ Μήδων πέμ- " ψειε ἀπολιπόντι τοὺς συμμάχους." ταῦτά τε ἅμα ἠγόρευε, καὶ πέμπει ἐπὶ τὴν νέα τὴν Ἀδειμάντου, τάλαντα ἀργυρίου τρία. οὗτοί τε δὴ πληγέντες δώροισι, ἀναπεπεισμένοι ἔσαν, καὶ τοῖσι Εὐβοέεσι ἐκεχάριστο· αὐτός τε ὁ Θεμιστοκλέης ἐκέρδηνε, ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων· ἀλλ' ἠπιστέατο οἱ μεταλαβόντες τουτέων τῶν χρημάτων, ἐκ τῶν Ἀθηναίων ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ τὰ χρήματα.

ϛ'. Οὕτω δὴ κατέμεινάν τε ἐν τῇ Εὐβοίῃ, καὶ ἐναυμάχησαν. ἐγένετο δὲ ὧδε· ἐπεί τε δὴ ἐς τὰς Ἀφέτας περὶ δείλην πρωΐην γενομένην ἀπίκατο οἱ βάρβαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον περὶ τὸ Ἀρτεμίσιον ναυλοχέειν νέας

---

nos non deseres, quem ego majoribus donabo muneribus, quam quæ rex Medorum tibi mitteret socios deserenti. Hæc loquutus, statim ad navem Adimanti tria misit argenti talenta. Istis donis icti obtemperabant, et Eubœensibus gratificatus est. Sed et Themistocles lucratus est et clam reliqua tenuit: sed qui partem illius acceperant, putabant eam ab Atheniensibus ad hoc ipsum profectam esse.

6. Ita Eubœa perstitere, ac prœlium mari fecere, quod ita gestum est. Barbari ad Aphetas circa diluculum progressi, quum etiam ante audivissent paucas Græcas naves ad Arte-

Ἑλληνίδας ὀλίγας, τότε δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἔσαν ἐπιχειρέειν, εἴ κως ἕλοιεν αὐτάς. ἐκ μὲν δὴ τῆς ἀντίης προσπλώειν οὔκω σφι ἐδόκεε, τῶνδε εἵνεκα· μή κως ἰδόντες οἱ Ἕλληνες προσπλώοντας, ἐς φυγὴν ὁρμήσειαν, φεύγοντάς τε εὐφρόνη καταλαμβάνῃ, καὶ ἔμελλον δῆθεν ἐκφεύξεσθαι. ἔδει δὲ μηδὲ πυρφόρον, τῷ ἐκείνων λόγῳ, ἐκφυγόντα περιγενέσθαι.

ζ'. Πρὸς ταῦτα ὦν τάδε ἐμηχανέοντο. τῶν νεῶν ἁπασέων ἀποκρίναντες διηκοσίας, περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ ὀφθείησαν ὑπὸ τῶν πολεμίων περιπλώουσαι Εὔβοιαν, κατά τε Καφηρέα, καὶ περὶ Γεραιστὸν, ἐς τὸν Εὔριπον, ἵνα δὴ περιλάβοιεν· οἱ μὲν, ταύτῃ ἀπικόμενοι, καὶ φράξαντες αὐτέων τὴν ὀπίσω

---

misium stationem habere, tunc autem ipsi cernentes cupidine tenebantur aggrediendi, si forte eas interciperent. Ceterum ex adverso invadendum ideo non videbatur, ne Græci, conspectis ipsis obviam tendentibus, fugam capesserent, noxque fugientes exciperet, atque ita eventurum esset, ut hi scilicet effugerent; at illorum, prout jactabant Persæ, ne ignifer quidem evadere debebat.

7. Igitur ad eam rem hæc sunt machinati: Ducentas ex omnibus navibus delectas extra Sciathum circummittunt, ne circumvehentes Eubœam ab hoste cernerentur prope Capharea et circa Geræstum ad Euripum, ut sic circumdarent, illi quidem huc tendentes, et viam quæ re-

φέρουσαν ὁδὸν, σφεῖς δὲ ἐπισπόμενοι ἐξ ἐναντίης. ταῦτα βουλευσάμενοι, ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας· αὐτοὶ οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι ἐπιθήσεσθαι, οὐδὲ πρότερον ἢ τὸ σύνθημά σφι ἔμελλε φανήσεσθαι παρὰ τῶν περιπλωόντων, ὡς ἡκόντων. ταύτας μὲν δὴ περιέπεμπον· τῶν δὲ λοιπέων νεῶν ἐν τῇσι Ἀφέτῃσι ἐποιεῦντο τὸν ἀριθμόν.

η΄. Ἐν δὲ τούτῳ τῷ χρόνῳ, ἐν ᾧ οὗτοι ἀριθμὸν ἐποιεῦντο τῶν νεῶν, ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ Σκυλλίης Σκιωναῖος, δύτης τῶν τότε ἀνθρώπων ἄριστος· ὃς καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον γενομένῃ, πολλὰ μὲν ἔσωσε τῶν χρημάτων τοῖσι Πέρσῃσι, πολλα δὲ καὶ αὐτὸς περιεβάλετο· οὗτος ὁ Σκυλλίης ἐν

---

tro ferebat obsepientes; ipsi vero ex adverso ingruentes. Hoc capto consilio quas constituerant naves miserunt, non habentes in animo ipsi eo die Græcos adoriri, nec priusquam signum ab illis, qui circumvehebantur, ederetur jam de suo adventu. His circummissis navibus, reliquarum apud Aphetas numerum inibant.

8. In quibus recensendis dum occupati sunt, Scyllias quidam Scionæus, qui iisdem in castris erat, omnium ejus tempestatis hominum optimus urinator, qui etiam in naufragio ad Pelium facto multam pecuniam Persis servavit, multa et sibi lucratus est. Hic Scyllias jampridem in animo habuerat ad Græcos transire, sed quum ad eam

νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον αὐτομολήσειν ἐς τοὺς Ἕλληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε, ὡς τότε. ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν ἔτι ἀπίκετο ἐς τοὺς Ἕλληνας, οὐκ ἔχω εἶπαι ἀτρεκέως· θωϋμάζω δὲ εἰ τὰ λεγόμενά ἐστι ἀληθέα. λέγεται γὰρ ὡς ἐξ Ἀφετέων δὺς ἐς τὴν θάλασσαν, οὐ πρότερον ἀνέσχε πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον, σταδίους μάλιστά κη τούτους ἐς ὀγδώκοντα διὰ τῆς θαλάσσης διεξελθών. λέγεται μέν νυν καὶ ἄλλα ψευδέσι εἴκελα περὶ τοῦ ἀνδρός τούτου· τὰ δὲ μετεξέτερα, ἀληθέα. περὶ μέντοι τούτου γνώμη μοι ἀποδεδέχθω, πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον. ὡς δὲ ἀπίκετο, αὐτίκα ἐσήμηνε τοῖσι στρατηγοῖσι τήν τε ναυηγίην, ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας τῶν νεῶν περὶ Εὔβοιαν.

---

diem non fuisset nactus occasionem, tunc ad Græcos transfugit. Sed insertum quonam modo illinc transierit: demiror tamen si vera sunt quæ referuntur. Fama est enim quum ex Aphetis mare subiisset, non prius emersisse quam ad Artemisium pervenit, octoginta ferme illa stadia per mare emensus. De hoc viro et alia memorantur, partim mendaciis similia, partim vera: de quo mihi ea probatur opinio, eum navigio ad Artemisium pervenisse. Is ubi eo pervenit, duces certiores fecit et naufragii facti et navium ad circumeundam Eubœam dimissarum.

θ'. Τοῦτο δὲ ἀκούσαντες οἱ Ἕλληνες, λόγον σφι αὐτοῖσι ἐδίδοσαν. πολλῶν δὲ λεχθέντων, ἐνίκα, τὴν ἡμέρην ἐκείνην αὐτοῦ μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτα νύκτα μέσην παρέντας, πορεύεσθαι, καὶ ἀπαντᾷν τῇσι περιπλωούσῃσι τῶν νηῶν. μετὰ δὲ τοῦτο, ὡς οὐδείς σφι ἐπέπλωε, δείλην ὀψίην γινομένην τῆς ἡμέρης φυλάξαντες, αὐτοί ἐπανέπλωον ἐπὶ τοὺς βαρβάρους, ἀπόπειραν αὐτέων ποιήσασθαι βουλόμενοι τῆς τε μάχης καὶ τοῦ διεκπλόου.

ι'. Ὁρέοντες δέ σφεας οἵ τε ἄλλοι στρατιῶται οἱ Ξέρξεω καὶ οἱ στρατηγοὶ ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην ἐπενείκαντες, ἀνῆγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν· οἰκότα κάρ-

---

9. Hoc Græci audito inter se colloquuti sunt: et quum multæ essent sententiæ, illa evicit, ut eum diem illic maneretur et in statione perstaretur; dehinc media nocte præterita proficiscerentur, et classi hostium quæ circumageretur occurrerent. Post, ubi nemo se ex adverso fert, observato diei crepusculo ipsi feruntur in barbaros, animo experiundæ fortunæ cum in pugnando, tum in perrumpendo.

10. Quos Xerxiani milites ducesque paucis cum navibus venientes in se conspicati, magnæ hoc illis dementiæ dantes, et ipsi naves educunt, sperantes facile se illos ire interceptum: merito sane id sperantes, quod viderent paucas Græcorum

τα ἐλπίσαντες. τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας, τὰς δὲ ἑωϋτῶν, πλήθεϊ τε πολλαπλησίας, καὶ ἄμεινον πλωούσας, καταφρονήσαντες ταῦτα, ἐκυκλοῦντο αὐτοὺς ἐς μέσον. ὅσοι μέν νυν τῶν Ἰώνων ἔσαν εὔνοοι τοῖσι Ἕλλησι, ἀέκοντές τε ἐστρατεύοντο, συμφορήν τε ἐποιεῦντο μεγάλην, ὁρέοντες περιεχομένους αὐτοὺς, καὶ ἐπιστάμενοι ὡς οὐδεὶς αὐτέων ἀπονοστήσει· οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν Ἑλλήνων πρήγματα. ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν τὸ γινομενον, ἅμιλλαν ἐποιεῦντο ὅκως αὐτὸς ἕκαστος πρῶτος νέα Ἀττικὴν ἑλὼν, δῶρα παρὰ βασιλῆος λάμψηται. Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖστος ἀνὰ τὰ στρατόπεδα.

ια΄. Τοῖσι δὲ Ἕλλησι ὡς ἐσήμηνε, πρῶτα

---

naves, suas vero multo plures atque velociores: itaque præ contemptu illos in medio concludunt. Ex Ionibus tamen illi, qui Græcis bene volebant, inviti militabant, magnæ calamitatis loco ducentes quod viderent circumveniri illos, quorum neminem animadverterent esse rediturum: adeo infirmæ res Græcorum esse illis videbantur. At ii, quibus id quod fiebat voluptati erat, pro se quisque adnitebatur, ut ipse primus aliqua navi Atheniensium capta, dona ab rege acciperet. Nam apud exercitum plurimus erat per hos de Atheniensibus sermo atque respectus.

11. Græci, ubi eis signum datum est, primum conversis in barbaros proris, puppes in me-

μὲν, ἀντίπρωροι τοῖσι βαρβάροισι γινόμενοι, ἐς τὸ μέσον τὰς πρύμνας συνήγαγον· δεύτερα δὲ σημήναντος, ἔργου εἴχοντο ἐν ὀλίγῳ περ ἀπολαμφθέντες, καὶ κατὰ στόμα. ἐνθαῦτα τριήκοντα νέας αἱρέουσι τῶν βαρβάρων, καὶ τὸν Γόργου τοῦ Σαλαμινίων βασιλῆος ἀδελφεὸν Φιλάονα τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ στρατοπέδῳ ἄνδρα. πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης Αἰσχρέου, καὶ τὸ ἀριστήϊον ἔλαβε οὗτος. τοὺς δ' ἐν τῇ ναυμαχίῃ ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους νὺξ ἐπελθοῦσα διέλυσε. οἱ μὲν δὴ Ἕλληνες ἐπὶ τὸ Ἀρτεμίσιον ἀπέπλωον, οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφέτας, πολλὸν παρὰ δόξαν ἀγωνισάμενοι. ἐν ταύτῃ τῇ ναυμαχίῃ Ἀντίδωρος Λήμνιος, μοῦνος τῶν

---

dium coëgerunt; deinde secundo signo dato, opus capessunt, quanquam in exiguo spatio deprehensi, et a fronte: mox triginta barbarorum naves capiunt, in quibus et Philaonem Chersis filium, Gorgi Salaminiorum regis germanum, et in eo exercitu virum eximium. Græcorum autem primus navem hostium cepit vir Atheniensis Lycomedes Æschreæ filius; idemque palmam rei bene gestæ retulit. In hac pugna quum invicem nunc hi, nunc illi superiores essent, interventu noctis dirempti sunt: et Græci quidem ad Artemisium avecti, barbari vero ad Aphetas, multo majus opinione sua certamen experti. In hoc prœlio, solus e Græcis, qui cum rege erant,

τὺν βασιλέϊ Ἑλλήνων ἐόντων, αὐτομολέει ἐς τοὺς Ἕλληνας, καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον ἔδοσαν αὐτῷ χῶρον ἐν Σαλαμῖνι.

ιβ΄. Ὡς δὲ εὐφρόνη ἐγεγόνεε, ἦν μὲν τῆς ὥρης μέσον θέρος, ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον διὰ πάσης τῆς νυκτὸς, καὶ βρονταὶ σκληραὶ ἀπὸ τοῦ Πηλίου· οἱ δὲ νεκροὶ καὶ τὰ ναυήγια ἐξεφορέοντο ἐς τὰς Ἀφέτας· καὶ περί τε τὰς πρώρας τῶν νεῶν εἰλέοντο, καὶ ἐτάρασσον τοὺς ταρσοὺς τῶν κωπέων. οἱ δὲ στρατιῶται οἱ ταύτῃ ἀκούοντες ταῦτα, ἐς φόβον κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι, ἐς οἷα κακὰ ἧκον. πρὶν γὰρ ἢ καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ γενομένου κατὰ Πήλιον, ὑπέλαβε ναυμαχίη καρτερή· ἐκ δὲ τῆς ναυμαχίης,

---

Antidorus Lemnius ad Græcos transfugit; quem Athenienses ob eam rem loco in Salamine donarunt.

12. Ubi nox adfuit, erat autem anni tempus mediæ æstatis, immensa vis aquarum extitit per totam noctem, et dira tonitrua a Pelio. Cadavera quoque ac naufragia ad Aphetas efferebantur, et circa navium proras volvebantur, et remorum palmulas perturbabant. Hæc audientes qui illic erant milites, metu consternabantur, credentes se esse utique perituros, ut qui in tantum malorum devenissent: quippe quos, antequam respirassent e naufragio et tempestate, quæ ad Pelion extiterat, excepisset atrox pugna navalis, ex pugna navali

ὄμβρος τε λάβρος, καὶ ῥεύματα ἰσχυρὰ ἐς θάλασσαν ὡρμημένα, βρονταί τε σκληραί. καὶ τούτοισι μὲν τοιαύτη ἡ νὺξ ἐγίνετο.

ιγ΄. Τοῖσι δὲ ταχθεῖσι αὐτέων περιπλώειν Εὔβοιαν, ἡ αὐτή περ ἐοῦσα νὺξ, πολλὸν ἦν ἔτι ἀγριωτέρη, τοσούτῳ ὅσῳ ἐν πελάγεϊ φερομένοισι ἐπέπιπτε. καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο, ἐοῦσι κατὰ τὰ Κοῖλα τῆς Εὐβοίης, φερόμενοι τῷ πνεύματι, καὶ οὐκ εἰδότες τῇ ἐφέροντο, ἐξέπιπτον πρὸς τὰς πέτρας. ἐποιέετό τε πᾶν ὑπό θεοῦ, ὅκως ἂν ἐξισωθείη τῷ Ἑλληνικῷ τὸ Περσικὸν, μηδὲ πολλῷ πλέον εἴη. οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διεφθείροντο.

ιδ΄. Οἱ δ᾽ ἐν Ἀφέτῃσι βάρβαροι, ὥς σφι

---

vehemens imber et validi in mare fluxus ruentes, ac dira tonitrua. Et istis quidem hujusmedi nox contigit.

13. At iis quibus negocium datum erat, ut Eubœam circumirent, eadem sane illa nox, etiam multo atrocior erat: tanto quidem, quanto majus est, quod eos dum in pelago ferrentur invasit: adeo ut tristis exitus fuerit. Ut enim eos cursum tenentes tempestas ac pluvia adorta est, quum essent ad Cœla Eubœæ, ac flatu ferrentur, ignari quo ferrentur, ad petras impingebantur. Et omne a deo fiebat, quo Græcæ classi par redderetur id navium Persicarum quod supererat, nec multo plus foret. Atque hi quidem circa Eubœæ Cœla periere.

14. Barbari vero qui apud Aphetas erant, ubi ipsis libenti-

ἀσμένοισι ἡμέρη ἐπέλαμψε, ἀτρέμας τε εἶχον τὰς νέας· καί σφι ἀπεχρέετο κακῶς πρήσσουσι ἡσυχίην ἄγειν ἐν τῷ παρεόντι. τοῖσι δὲ Ἕλλησι ἐπεβώθεον νέες τρεῖς καὶ πεντήκοντα Ἀττικαί. αὗταί τε δή σφεας ἐπέῤῥωσαν ἀπικόμεναι, καὶ ἅμα ἀγγελίη ἐλθοῦσα, ὡς τῶν βαρβάρων οἱ περιπλώοντες τὴν Εὔβοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου χειμῶνος. φυλάξαντες δὴ τὴν αὐτὴν ὥρην, πλώοντες ἐπέπεσον νηυσὶ Κιλίσσησι. ταύτας δὲ διαφθείραντες, ὡς εὐφρόνη ἐγένετο, ἀπέπλωον ὀπίσω ἐπὶ τὸ Ἀρτεμίσιον.

ιε΄. Τρίτη δὲ ἡμέρῃ δεινόν τι ποιησάμενοι οἱ στρατηγοὶ τῶν βαρβάρων, νέας οὕτω σφι ὀλίγας λυμαίνεσθαι, καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες, οὐκ ἀνέμειναν ἔτι τοὺς Ἕλλη-

---

bus dies illuxit, naves tenebant tranquillas, satis habentes, quum male agerent, quietem captare in præsens. At Græcis auxilio tres et quinquaginta naves Atticæ supervenere: quæ suo adventu illos corroboraverunt et simul nuncius allatus, eos barbaros qui Eubœam circumvehebantur, tempestate illa, quæ extiterat, cunctos interiisse. Itaque Græci eadem observata hora profecti, naves Cilissas invasere. Quas ubi corrupere, et nox advenit, iterum se ad Artemisium receperunt.

15. Tertio die barbarorum duces, tum indigne ferentes naves tam paucas ipsis insultare, tum a Xerxe supplicium timentes, non expectarunt amplius, ut Græci priores pugnam

νας μάχης ἄρξαι, ἀλλὰ παρακελευσάμενοι, κατὰ μέσον ἡμέρης ἀνῆγον τὰς νέας. συνέπιπτε δὲ ὥστε ταῖς αὐταῖς ἡμέραις τὰς ναυμαχίας γίνεσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι. ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασσαν περὶ τοῦ Εὐρίπου, ὥσπερ τοῖσι ἀμφὶ Λεωνίδεα, τὴν ἐσβολὴν φυλάσσειν. οἱ μὲν δὴ παρεκελεύοντο, ὅκως μὴ παρήσωσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους, οἱ δὲ, ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες, τοῦ πόρου κρατήσωσι.

ιϛ΄. Ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρτεμισίῳ. οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν νεῶν, ἐκυκλέοντο ὡς περιλάβοιεν αὐτούς. ἐνθεῦτεν οἱ Ἕλληνες ἐπανέπλωόν τε καὶ συνέ-

---

capesserent, sed cohortati sese naves circa meridiem eduxerunt. Contigit autem, ut per eosdem dies et hæc navalia prœlia et illa in Thermopylis terrestria gererentur. Erat autem omne certamen his in mari de Euripo, quemadmodum illis, qui cum Leonide erant, de transitu custodiendo: et Græci quidem sese adhortabantur, ne barbaros intrare, Græciam sinerent; barbari vero, ut Græcorum copiis profligatis, transitu potirentur.

16. Procedente autem Xerxianorum classe in aciem ordinata, dum Græci se apud Artemisium immotus tenerent, tunc eos barbari, ut comprehenderent, lunata classe circumdabant. Ibi Græci ex adverso

μισγον. ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγένοντο. ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ πλήθεος, αὐτὸς ὑπ' ἑωϋτοῦ ἔπιπτε, ταρασσομενέων τε τῶν νεῶν καὶ περιπιπτουσέων περὶ ἀλλήλας· ὅμως μέντοι ἀντεῖχε, καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα ἐποιεῦντο, ὑπὸ νεῶν ὀλιγων ἐς φυγὴν τραπέσθαι. πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολλοὶ δὲ ἄνδρες. πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν βαρβάρων καὶ ἄνδρες. οὕτω δὲ ἀγωνιζόμενοι, διέστησαν χωρὶς ἑκάτεροι.

ιζ'. Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν· οἵ ἄλλα τε μεγάλα ἔργα ἀπεδέξαντο, καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνίδας πέντε. τῶν

---

prodeuntes conflixere. Qua in pugna pari marte pugnatum est: nam Xerxiana classis præ magnitudine et copia sua in se incidebat, perturbatis navibus et mutuo incursantibus: resistebat tamen neque cedebat. Indigna enim res videbatur, a paucis navibus in fugam converti. Itaque multæ Græcorum naves interibant, multi etiam viri, sed multo plures barbarorum et naves et viri: atque ita dimicantes utrique ab alteris abscessere.

17. Hoc in prœlio Xerxianos inter milites optimam Ægyptii navaverunt operam, cum aliis magnis editis operibus, tum hoc, quod quinque Græcas naves cum viris omnibus cepere. E Græcis autem eo die præ-

δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Κλεινίης ὁ Ἀλκιβιάδεω· ὃς δαπάνην οἰκηΐην παρεχόμενος, ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι καὶ οἰκηΐῃ νηΐ.

ιη΄. Ὡς δὲ διέστησαν ἄσμενοι ἑκάτεροι, ἐς ὅρμον ἠπείγοντο. οἱ δὲ Ἕλληνες, ὡς διακριθέντες ἐκ τῆς ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν καὶ τῶν ναυηγίων ἐπεκράτεον, τρηχέως δὲ περιεφθέντες, καὶ οὐκ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἔσαν, δρησμὸν δὴ ἐβούλευον ἔσω ἐς τὴν Ἑλλάδα.

ιθ΄. Νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης ὡς εἰ ἀποῤῥαγείη ἀπὸ τοῦ βαρβαρικοῦ τό, τε Ἰωνικὸν καὶ τὸ Καρικὸν φῦλον, οἷοί τε εἴησαν τῶν λοιπῶν κατύπερθε γενέσθαι· ἐλαυνόντων

---

stantissimi extitere Athenienses, et inter Athenienses, Clinias Alcibiadis filius; qui domestico sumptu ac propria navi cum ducentis viris militabat.

18. Ubi utrique libenter in diversum abiere, ad stationem festinabant. Græci autem dirempto prœlio revecti, etsi cæsorum corporibus ac naufragiis potiebantur, tamen quod aspere vexati essent, præcipueque Athenienses, quorum dimidium navium vulneratum erat, de fugiendo interius in Græciam deliberabant.

19. Themistocles, reputans, si ab viribus barbaricis abduceret Iones et Cares, fieri posse ut reliquos superarent; dum

τῶν Εὐβοέων πρόβατα ἐπὶ τὴν θάλασσαν, ταύτῃ συλλέξας τοὺς στρατηγοὺς, ἔλεγέ σφι ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τῶν βασιλῆος συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου. ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε ποιητέα εἶναί σφι ἔλεγε· τῶν τε προβάτων τῶν Εὐβοϊκῶν ὅσα τις ἐθέλοι καταθύειν· κρέσσον γὰρ εἶναι τὴν στρατιὴν ἔχειν ἢ τοὺς πολεμίους. παραίνεέ τε προειπεῖν τοῖσι ἑωϋτῶν ἑκάστους πῦρ ἀνακαίειν· κομιδῆς δὲ πέρι τὴν ὥρην αὐτῷ μελήσειν, ὥστε ἀσινέας ἀπικέσθαι ἐς τὴν Ἑλλάδα. ταῦτα ἤρεσέ σφι ποιέειν· καὶ αὐτίκα πῦρ ἀνακαυσάμενοι, ἐτράποντο πρὸς τὰ πρόβατα.

κ΄. Οἱ γὰρ Εὐβοέες παραχρησάμενοι τὸν

Eubœenses pecora ad mare propellunt, huc duces contraxit, eisque dixit se viam quandam habere, qua speraret optimos sociorum ab rege abductum iri. Hactenus rem enudavit, addiditqne in rebus præsentibus hoc ab illis agendum esse, ut Euboicorum pecorum quantum vellet quisque mactaret; satius enim esse suos milites potiri quam hostem. Ac monuit ut suis quique popularibus præciperent ignem accendere; sibi autem de discessu tempus curæ fore, ut sine noxa abirent in Græciam. Hoc illis probatum quum esset, accensis ignibus ad pecora est itum.

20. Nam Eubœenses, contempto Bacidis oraculo, tanquam nihil dicente, neque ex-

Βάκιδος χρησμὸν ὡς οὐδὲν λέγοντα, οὔτε τι ἐξεκομίσαντο οὐδὲν, οὔτε προσετάξαντο, ὡς παρεσομένου σφι πολέμου, περιπετέα τε ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. Βάκιδι γὰρ ὧδε ἔχει περὶ τουτέων ὁ χρησμὸς,

Φράζεο, βαρβαρόφωνος ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
Βύβλινον, Εὐβοίης ἀπέχειν πολυμηκάδας αἶγας.

τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι τότε παρεοῦσί τε καὶ προσδοκίμοισι κακοῖσι, παρῆν σφι συμφορῇ χρέεσθαι πρὸς τὰ μέγιστα.

κά. Οἱ μὲν δὴ ταῦτα ἔπρησσον, παρῆν δὲ ὁ ἐκ Τρηχῖνος κατάσκοπος. ἦν μὲν γὰρ ἐπ' Ἀρτεμισίῳ κατάσκοπος Πολύας, γένος Ἀντικυρεὺς, τῷ προσετέτακτο· καὶ εἶχε πλοῖον

---

portaverant quicquam, neque importaverant, velut impendente eis bello, et res sibi quoque ipsis ambiguas effecerunt: ita enim habebat de his oraculum Bacidis,

Dum juga barbaricus canabacea jactat in æquor,
Eubœa capræ mecentes fac procul absint.

His versibus quum nihil illi uterentur in malis, quæ tum aderant, tum impendebant, debebat fieri ut maxima calamitate afficerentur.

21. Dum hæc isti agebant, advenit ex Trachine speculator: nam erat apud Artemisium speculator Polyas, genere Anticyrensis, cui datum erat negotium, et habebat expeditum et remis instructum navi-

κατῆρες ἑτοῖμον, εἰ παλήσειε ὁ ναυτικὸς στρατὸς, σημαίνειν τοῖσι ἐν Θερμοπύλῃσι ἐοῦσι. ὡς δ' αὔτως ἦν Ἀβρώνυχος ὁ Λυσικλέος Ἀθηναῖος καὶ παρὰ Λεωνίδῃ ἑτοῖμος τοῖσι ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι καταλαμβάνῃ νεώτερον τὸν πεζόν. οὗτος ὦν ὁ Ἀβρώνυχος ἀπικόμενος ἐσήμαινέ σφι τὰ γεγονότα περὶ Λεωνίδεα καὶ τὸν στρατὸν αὐτοῦ. οἱ δὲ, ὡς ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς ἐποιεῦντο τὴν ἀποχώρησιν, ἐκομίζοντο δὲ ὡς ἕκαστοι ἐτάχθησαν· Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι.

κβ'. Ἀθηναίων δὲ νέας τὰς ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστοκλέης, ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐντάμνων ἐν τοῖσι λίθοισι γράμματα, τὰ Ἴωνες ἐπελθόντες τῇ

---

gium, si copiæ navales conflixissent, ut renunciaret iis, qui apud Thermopylas erant. Similiter Abronychus Lysiclis filius Atheniensis apud Leonidem erat paratus cum triginta remorum navigio ad nunciandum iis, qui ad Artemisium agebant, si quid novi pedestribus copiis contigisset. Hic igitur Abronychus adveniens, indicavit ea quæ circa Leonidem et ejus exercitum gesta erant. Qua isti re audita non jam sibi differendum abitum putaverunt: sed ut quique locati erant, abscesserunt; primi Corinthii, postremi Athenienses.

22. Quorum Atheniensium velocissimis navibus delectis, Themistocles ad aquas potabiles se conferens, in lapidibus

ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον, ἐπελέξαντο. τὰ δὲ γράμματα τάδε ἔλεγε, "Ἄν-
" δρες Ἴωνες, οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πα-
" τέρας στρατευόμενοι, καὶ τὴν Ἑλλάδα
" καταδουλούμενοι. ἀλλὰ μάλιστα μὲν πρὸς
" ἡμέων γίνεσθε· εἰ δὲ ὑμῖν ἐστι τοῦτο μὴ
" δυνατὸν ποιῆσαι, ὑμέες δὲ ἔτι καὶ νῦν ἐκ
" τοῦ μέσου ἡμῖν ἕζεσθε καὶ αὐτοὶ, καὶ τῶν
" Καρῶν δέεσθε τὰ αὐτὰ ὑμῖν ποιέειν· εἰ
" δὲ μηδέτερον τουτέων οἷόν τε γίνεσθαι, ἀλλ'
" ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε ἢ ὥστε
" ἀπίστασθαι, ὑμέες γε ἐν τῷ ἔργῳ, ἐπεὰν
" συμμίσγωμεν, ἐθελοκακέετε, μεμνημένοι
" ὅτι ἀπ' ἡμέων γεγόνατε, καὶ ὅτι ἀρχῆθεν
" ἡ ἔχθρη πρὸς τὸν βάρβαρον ἀπ' ὑμέων ἡμῖν
" γέγονε." Θεμιστοκλέης δὲ ταῦτα ἔγραφε,

---

litteras incidebat; quas postero die Iones ad Artemisium venientes legerunt, in hæc verba: Viri Iones, haud juste facitis, militantes adversus patres, et Græciam redigentes in servitutem. Sed maxime quidem state a nobis: sin hoc facere non potestis, at vos saltem et nunc e medio nobis vos subducite, et ipsi et Cares, ut eadem vobis faciant, obsecrate. Quod si horum neutrum fieri potest, et majori necessitate estis obstricti, quam ut possitis desciscere, utique vos in re gerenda, dum pugnam conseremus, tergiversamini, memores a nobis vos esse oriundos, et inimicitiarum nobis cum barbaro principium a vobis extitisse. Hæc Themistocles, ut arbitror, duplici

δοκέειν ἐμοὶ, ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλῆα, Ἴωνας ποιήσῃ μεταβαλέειν καὶ γενέσθαι πρὸς ἑωϋτῶν, ἢ, ἐπείτε ἀνενειχθῇ, καὶ διαβληθῇ πρὸς Ξέρξεα, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας, καὶ τῶν ναυμαχιέων αὐτοὺς ἀπόσχῃ.

κγ'. Θεμιστοκλέης μὲν νυν ταῦτα ἐνέγραψε. τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἱστιαιεὺς, ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νῆας δὲ ταχείας ἀπέστειλαν προκατοψομένας. ἀπαγγειλάντων δὲ τουτέων τὰ ἦν, οὕτω δὴ ἅμα ἡλίῳ σκιδναμένῳ πᾶσα ἡ στρατιὴ ἐπέπλεε ἁλὴς ἐπὶ τὸ Ἀρτεμίσιον. ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου

---

consilio scripsit, ut si litteræ regem laterent, Iones induceret ad deficiendum a rege ad se; sin ad eum deferrentur, darenturque crimini, infidos eidem redderet Iones, et a prœliis navalibus summoveret.

23. Postquam autem hæc Themistocles inscripsit, extemplo vir Histiæensis navigio advectus, barbaris nuncium attulit Græcos ab Artemisio profugisse. Illi homine, quod fidem non haberent, servari jusso, naves veloces ad rem explorandam miserunt: qua re per istas nunciata, prout erat, simulatque refulsit sol, omnis classis addensata ad Artemisium contendit: ubi ad meridiem usque immorata, mox ad Histiæam processit. Eo appulsi, urbe

ἡμέρης, τὸ ἀπὸ τούτου ἔπλωον ἐς Ἱστιαίην. ἀπικόμενοι δὲ, τὴν πόλιν ἔσχον τῶν Ἱστιαίεων, καὶ τῆς Ἑλλοπίης μοίρης, γῆς δὲ τῆς Ἱστιαιήτιδος τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον.

κδʹ. Ἐνθαῦτα δὲ τουτέων ἐόντων, Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς νεκροὺς, ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα. προετοιμάσατο δὲ τάδε· ὅσοι τοῦ στρατοῦ τοῦ ἑωϋτοῦ ἔσαν νεκροὶ ἐν Θερμοπύλησι, ἔσαν δὲ καὶ δύο μυριάδες, ὑπολιπόμενος τουτέων ὡς χιλίους, τοὺς λοιποὺς, τάφρους ὀρυξάμενος, ἔθαψε· φυλλάδα τε ἐπιβαλὼν, καὶ γῆν ἐπαμησάμενος ἵνα μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ. ὡς δὲ διέβη ἐς τὴν Ἱστιαίην ὁ κήρυξ, σύλλογον ποιησάμενος παντὸς τοῦ στρατοπέδου, ἔλεγε τάδε, "Ἄνδρες σύμμαχοι,

---

Histiæorum potiti sunt, et Hellopiæ portionis, regionis autem Histiæotidis maritimos vicos omnes incursaverunt:

24. Dum isti hoc in loco agunt, Xerxes præparatis, quæ volebat circa cadavera, præconem ad classiarios mittit. Hæc autem præparaverat. Quicumque e suo exercitu apud Thermopylas cæsi, erant autem viginti millia, eorum mille ferme relictis, ceteros depressis fossis humavit: et ne a classiario exercitu cerni possent, foliisque constravit, et humum aggeravit. Præco ubi ad Histiæam transiit, facto totius exercitus cœtu, hæc dixit, Viri socii, rex Xerxes dat veniam cuicunque

"βασιλεὺς Ξέρξης τῷ βουλομένῳ ὑμέων
"παραδίδωσι, ἐκλιπόντα τὴν τάξιν, καὶ
"ἐλθόντα, θεήσασθαι ὅκως μάχεται πρὸς
"τοὺς ἀνοήτους τῶν ἀνθρώπων, οἳ ἤλπισαν
"τὴν βασιλῆος δύναμιν ὑπερβαλέεσθαι."

κε'. Ταῦτα ἐπαγγειλαμένου, μετὰ ταῦτα οὐδὲν ἐγίνετο πλοίων σπανιώτερον· οὕτω πολλοὶ ἤθελον θεήσεσθαι. διαπεραιωθέντες δὲ ἐθηεῦντο διεξιόντες τοὺς νεκρούς. πάντες δὲ ἠπιστέατο τούς κειμένους εἶναι πάντας Λακεδαιμονίους καὶ Θεσπιέας, ὁρέοντες καὶ τοὺς εἵλωτας. οὐ μὲν οὐδ' ἐλάνθανε τοὺς διαβεβηκότας Ξέρξης ταῦτα πρήξας περὶ τοὺς νεκροὺς τοὺς ἑωϋτοῦ· καὶ γὰρ δὴ καὶ γελοῖον ἦν. τῶν μὲν χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι, οἱ δὲ πάντες ἐκέατο ἁλέες συγκεκομισμένοι

---

libet relictis ordinibus ire visum, quemadmodum pugnet cum amentibus hominibus, qui se superaturos speraverant copias regis.

25 Hæc denunciante præcone, mox nihil infrequentius fuit navigiis: ita multi visere cupiebant. Illuc transvecti et transeuntes cernebant cadavera. Cuncti vero sciebant omnes Lacedæmonios esse ac Thespienses, qui jacebant, quum etiam hilotas cernerent. Itaque eos qui transmisere non latuit Xerxes, qui circa suorum cadavera id fecisset. Etenim erat res profecto etiam ridicula, ut illorum quidem mille jacentes occisi extarent, isti vero omnes conferti eundem in locum quater milleni comportati essent.

ἐς τὠυτὸ χωρίον, τέσσερες χιλιάδες. ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην ἐτράποντο· τῇ δ' ὑστεραίῃ οἱ μὲν ἀπέπλωον ἐς Ἱστιαίην ἐπὶ τὰς νῆας, οἱ δὲ ἀμφὶ Ξέρξεα, ἐς ὁδὸν ὁρμέατο.

κϛ'. Ἧκον δέ σφι αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης ὀλίγοι τινὲς, βίου τε δεόμενοι, καὶ ἐνεργοὶ βουλόμενοι εἶναι. ἀγαγόντες δὲ τούτους ἐς ὄψιν τὴν βασιλῆος, ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων τὰ ποιέοιεν· εἷς δέ τις πρὸ πάντων ἦν ὁ εἰρωτέων αὐτοὺς ταῦτα. οἱ δέ σφι ἔλεγον, ὡς Ὀλύμπια ἄγοιεν, καὶ θεωρέοιεν ἀγῶνα γυμνικὸν καὶ ἱππικόν. ὁ δὲ ἐπείρετο ὅ, τι τὸ ἄεθλον εἴη σφι κείμενον, περὶ ὅτευ ἀγωνίζονται· οἱ δ' εἶπον, τῆς ἐλαίης τὸν διδόμενον στέφανον. ἐνθαῦτα εἴπας γνώ-

---

Atque hunc quidem diem in spectaculo consumserunt: postero autem classiarii Histiæam ad classem remeaverunt. Xerxes et qui cum eo erant, iter ingressi sunt.

26. Verum ad hos pauci quidam ab Arcadia perfugæ venerunt victus inopes, et operam suam præstare cupientes: qui in conspectum regis adducti, interrogatique cum ab aliis Persis, tum vero præcipue a quodam, de Græcis, quæ agerent; responderunt eos agere Olympia, et spectare certamen gymnicum atque equestre. Rursus eodem percontante quodnam illis præmium esset propositum propter quod certarent, oleaginam coronam inquiunt esse qua donarentur. Ibi Tritantæch-

μην γενναιοτάτην Τριτανταίχμης ὁ Ἀρταβάνου, δειλίην ὤφλεε πρὸς βασιλῆος. πυνθανόμενος γὰρ τὸ ἄεθλον ἐὸν στέφανον, ἀλλ' οὐ χρήματα, οὔτε ἠνέσχετο σιγῶν, εἶπέ τε ἐς πάντας τάδε, "Παπαὶ Μαρδόνιε, κοίους "ἐπ' ἄνδρας ἤγαγες μαχησομένους ἡμέας, "οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποιεῦνται, "ἀλλὰ περὶ ἀρετῆς;" τούτῳ μὲν δὴ ταῦτα εἴρητο.

κζ'. Ἐν δὲ τῷ διὰ μέσου χρόνῳ ἐπεί τε τὸ ἐν Θερμοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμπουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι ἐνέχοντες αἰεὶ χόλον, ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα. ἐσβαλόντες γὰρ πανστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι αὐτέων ἐς τοὺς Φωκέας, οὐ πολ-

mes Artabani filius generosissimam quum dixisset sententiam, a rege pro timido est habitus. Audiens enim præmium coronam esse, non pecunias, silentium tenere non potuit quin coram omnibus diceret, Papæ Mardoni, in quos viros induxisti nos ad pugnandum? qui non pecuniarum certamen agitant, sed virtutis?

27. Hæc ab illo dicebantur. Eo interim tempore post acceptam apud Thermopylas calamitatem confestim Thessali caduceatorem ad Phocenses mittunt, utpote iis infensi, cum semper antea, tum præcipue post novissimam cladem. Quippe non multis ante hanc regis expeditionem annis, quum ipsi Thessali omni cum copia et eorum

λοῖσι ἔτεσι πρότερον ταύτης τῆς βασιλῆος στρατηλασίης, ἑσσώθησαν ὑπὸ τῶν Φωκέων, καὶ περιέφθησαν τρηχέως· ἐπεί τε γὰρ κατειλήθησαν ἐς τὸν Παρνησσὸν οἱ Φωκέες, ἔχοντες μάντιν Τελλίην τὸν Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι τοιόνδε. γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων τοὺς ἀρίστους, αὐτούς τε τούτους, καὶ τὰ ὅπλα αὐτέων, νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι· προείπας αὐτοῖσι, τὸν ἂν μὴ λευκανθίζοντα ἴδωνται, τοῦτον κτείνειν· τούτους ὦν αἵ τε φυλακαὶ τῶν Θεσσαλῶν πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι τέρας· καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιὴ οὕτω, ὥστε τετρακισχιλίων κρατῆσαι νεκρῶν καὶ ἀσπίδων Φωκέας, τῶν τὰς μὲν ἡμισέας ἐς

---

socii aggressi essent Phocenses, a Phocensibus fugati sunt aspereque vexati. Etenim quum ad Parnassum conclusi essent, Phocenses habentes Telliam faticinum Eleum, ibi Tellias hic hujusmodi rem eis commentus est. Sexcentos viros e Phocensibus præstantissimos gypso tam ipsos quam arma illinit, eosque sub noctem in Thessalos immisit, dato præcepto ut quemcunque non albicantem cernerent, eum obtruncarent. Hos primi Thessalorum excubitores, aliud quoddam prodigium esse arbitrati, et post has excubias ipse exercitus adeo exhorruerunt, ut quatuor millibus cæsorum atque scutorum Phocenses potiti sint; quorum scutorum dimidium apud Abas, reliqua apud

Ἄβας ἀνέθεσαν, τὰς δὲ, ἐς Δελφούς· ἡ δὲ δεκάτη ἐγένετο τῶν χρημάτων ἐκ ταύτης τῆς μάχης, οἱ μεγάλοι ἀνδριάντες οἱ περὶ τὸν τρίποδα συνεστεῶτες, ἔμπροσθεν τοῦ νηοῦ τοῦ ἐν Δελφοῖσι, καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι ἀνακέαται.

κη', Ταῦτα μέν νυν τὸν πεζὸν ἐργάσαντο τῶν Θεσσαλῶν οἱ Φωκέες, πολιορκέοντας ἑωϋτούς. ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν ἵππον αὐτέων, ἐλυμήναντο ἀνηκέστως. ἐν γὰρ τῇ ἐσβολῇ ἥ ἐστι κατὰ Ὑάμπολιν, ἐν ταύτῃ τάφρον μεγάλην ὀρύξαντες, ἀμφορέας κεινοὺς ἐς αὐτὴν κατέθηκαν· χοῦν δὲ ἐπιφορήσαντες, καὶ ὁμοιώσαντες τῷ ἄλλῳ χώρῳ, ἐδέκοντο τοὺς Θεσσαλοὺς ἐσβάλλοντας. οἱ δὲ, ὡς ἀναρπασόμενοι τοὺς Φωκέας φερόμε-

---

Delphos dedicaverunt: et ex decimis pecuniarum hujus pugnæ factæ sunt statuæ grandes, quæ circa tripodem e regione delubri Delphis visuntur: et alteræ ejusmodi in Abis repositæ.

28. Hæc Phocenses in peditatum Thessalorum, a quibus obsidebantur, egerunt: equitatum queque eorundem, qui in suum agrum incursaverat, insanabili clade afflixerunt: ad ingressum enim qui est juxta Hyampolin, depressa istic ingenti fossa, amphoras inanes in ea deposuerunt, humumque desuper injecerunt, eamque reliquo solo exæquaverunt: atque ibi Thessalos exceperunt incurrentes. Thessali impetu sumpto, tanquam eos rapturi, in ampho-

νοι ἐσέπεσον ἐς τοὺς ἀμφορέας. ἐνθαῦτα οἱ ἵπποι τὰ σκέλεα διεφθάρησαν.

κθ΄. Τουτέων δή σφι ἀμφοτέρων ἔχοντες ἔγκοτον οἱ Θεσσαλοὶ, πέμψαντες κήρυκα, ἠγόρευον τάδε, "Ὦ Φωκέες, ἤδη τι μᾶλλον "γνωσιμαχέετε μὴ εἶναι ὅμοιοι ἡμῖν. πρό-"σθεν τε γὰρ ἐν τοῖσι Ἕλλησι ὅσον χρόνον "ἐκεῖνα ἡμῖν ἥνδανε, πλέον αἰεί κοτε ὑμέων "ἐφερόμεθα· νῦν τε παρὰ τῷ βαρβάρῳ το-"σοῦτον δυνάμεθα, ὥστε ἐπ' ἡμῖν ἐστι τῆς "γῆς τε ἐστερῆσθαι, καὶ πρὸς, ἠνδραποδίσ-"θαι ὑμέας. ἡμέες μέντοι τὸ πᾶν ἔχοντες, "οὐ μνησικακέομεν, ἀλλ' ἡμῖν γενέσθω ἀντ' "αὐτέων πεντήκοντα τάλαντα ἀργυρίου· καὶ "ὑμῖν ὑποδεκόμεθα τὰ ἐπιόντα ἐπὶ τὴν χώρην "ἀποτρέψειν."

---

ras inciderunt, ibique equorum crura corrupta sunt.

29. Ob hæc ambo Phocensibus infensi Thessali, misso caduceatore ita dixere, O Phocenses, nunc aliquid amplius resipiscentes agnoscite non esse vos nobis pares; qui et antehæc inter Græcos, quandiu partes illorum nobis placuerunt, semper vobis antecelluimus, et nunc apud barbarum adeo pollemus, ut penes nos sit et agro vos exui, et præterea in servitutem redigi. Quam facultatem etsi obtinemus, tamen injuriarum non sumus memores, nisi ut eo nomine quinquaginta talenta rependatis: et nos vobis recipimus, damna omnia nos ab agro vestro aversuros.

λ'. Ταῦτά σφι ἐπαγγέλλοντο οἱ Θεσσαλοί. οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδὲν, ὡς ἐγὼ συμβαλλεόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τῶν Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες. ταῦτα ἐπαγγελλομένων Θεσσαλῶν, οὔτε δώσειν ἔφασαν χρήματα, παρέχειν τέ σφι Θεσσαλοῖσι ὁμοίως μηδίζειν, εἰ ἄλλως βουλοίατο· ἀλλ' οὐκ ἔσεσθαι ἑκόντες εἶναι προδόται τῆς Ἑλλάδος.

λα'. Ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ κεχολωμένοι τοῖσι Φωκεῦσι, ἐγένοντο ἡγεμόνες τῷ βαρβάρῳ τῆς ὁδοῦ. ἐκ μὲν δὴ τῆς Τρηχινίης ἐς τὴν Δωρίδα ἐσέβαλον. τῆς γὰρ Δωρίδος χώρης ποδεὼν

---

30. Haec Thessali Phocensibus denunciabant, quod soli Phocenses inter ejus loci homines cum Medis non sentiebant; idque nulla alia caussa, ut ego conjectura comperio, quam Thessalorum odio; partes Medorum, ut mihi videtur, sequuturi, si Thessali partes Græcorum fovissent. Hæc deferentibus Thessalis, negarunt se Phocenses pecuniam daturos; et sibi itidem, ut Thessalis, facultatem esse sentiendi cum Medis, si aliter sentire vellent: sed nequaquam fore ut sponte essent proditores Græciæ.

31. His verbis renunciatis ita Thessali irritati in Phocenses barbaro duces itineris extiterunt, et ex Trachinia Doridem regionem incursaverunt: nam

στεινὸς ταύτῃ κατατείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κείμενος μεταξὺ τῆς τε Μηλίδος καὶ τῆς Φωκίδος χώρης, ἥπερ ἦν τοπαλαιὸν Δρυοπίς· ἡ δὲ χώρη αὕτη ἐστὶ μητρόπολις Δωριέων τῶν ἐν Πελοποννήσῳ. ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο ἐσβάλλοντες οἱ βάρβαροι· ἐμήδιζόν τε γὰρ, καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι.

λβ΄. Ὡς δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα ἐσέβαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι. οἱ μὲν γὰρ τῶν Φωκέων ἐς τὰ ἄκρα τοῦ Παρνησσοῦ ἀνέβησαν. ἔστι δὲ καὶ ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ Παρνησσοῦ ἡ κορυφὴ, κατὰ Νέωνα πόλιν κειμένη, ἐπ᾽ ἑωϋτῆς· Τιθορέα οὔνομα αὐτῇ· ἐς τὴν δὴ ἀνηνείκαντο, καὶ αὐτοὶ ἀνέβησαν· οἱ δὲ πλεῦνες αὐτέων ἐς

---

ejus regionis limes angustus illuc triginta non amplius stadia in latum pertinet, inter Meliadem ac Phocensem regionem situs, quæ olim Dryopis erat. Hæc autem regio, Doriensium qui sunt in Peloponneso, metropolis est. Hanc igitur Doridem regionem ingressi barbari nihil læserunt; cum Medis enim, etsi Thessalis non videbatur, sentiebant.

32. Posteaquam autem e Doride in Phocidem ingressi sunt barbari, ipsos quidem Phocenses non sunt adepti: eorum enim nonnulli cacumina Parnassi conscenderant: et est vertex Parnassi juxta urbem Neonem situs, nomine Tithorea, in se aptus turbæ capiendæ, in quam aut vecti erant, aut ipsi ascenderant: sed plures ad Locros Ozolas exierant in urbem Am-

τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο, ἐς Ἄμφισσαν πόλιν τὴν ὑπὲρ τοῦ Κρισαίου πεδίου οἰκεομένην. οἱ δὲ βάρβαροι τὴν χώρην πᾶσαν ἐπέδραμον τὴν Φωκίδα· Θεσσαλοὶ γὰρ οὕτω ἦγον τὸν στρατόν. ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον καὶ ἔκειρον, καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ καὶ ἐς τὰ ἱρά.

λγʹ. Πορευόμενοι γὰρ ταύτῃ παρὰ τὸν Κηφισσὸν ποταμὸν, ἐδῄουν πάντα· καὶ κατὰ μὲν ἔκαυσαν Δρύμον πόλιν, κατὰ δὲ Χαράδραν, καὶ Ἔρωχον, καὶ Τεθρώνιον, καὶ Ἀμφίκαιαν, καὶ Νέωνα, καὶ Πεδιέας, καὶ Τριτέας, καὶ Ἐλάτειαν, καὶ Ὑάμπολιν, καὶ Παραποταμίους, καὶ Ἄβας· ἔνθα ἦν ἱρὸν Ἀπόλλωνος πλούσιον, θησαυροῖσί τε καὶ ἀναθήμασι πολλοῖσι κατεσκευασμένον. ἦν δέ

phissam, quæ supra Crisæum sita est campum. At barbari omnem agrum Phocensem incursaverunt: sic enim ducebant exercitum Thessali; et omnia quæ nacti sunt, igni ferroque vastarunt, in urbes etiam et sacras ædes igne injecto.

33. Nam peragrantes Phocidem juxta Cephissum amnem, cuncta populati sunt, et hinc urbem Drymon incenderunt, illinc Charadram et Erochum et Tethronium et Amphicæam et Neonem et Pedieas et Triteas et Elateam et Hyampolin et Parapotamios, et Abas: ubi delubrum Apollinis erat locuples et thesauris donariisque compluribus exornatum; ubi

καὶ τότε καὶ νῦν ἐστι χρηστήριον αὐτόθι. καὶ τοῦτο τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν. καί τινας διώκοντες εἷλον τῶν Φωκέων πρὸς τοῖσι οὔρεσι· καὶ γυναῖκάς τινας διέφθειραν μισγόμενοι ὑπὸ πλήθεος.

λδʹ. Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι, ἀπίκοντο ἐς Πανοπέας. ἐνθεῦτεν δὲ ἤδη διακρινομένη ἡ στρατιὴ αὐτέων ἐσχίζετο. τὸ μὲν πλεῖστον καὶ δυνατώτατον τοῦ στρατοῦ, ἅμα αὐτῷ Ξέρξῃ πορευόμενον ἐπ' Ἀθήνας, ἐσέβαλε ἐς Βοιωτοὺς, ἐς γῆν τῶν Ὀρχομενίων. Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος ἐμήδιζε. τὰς δὲ πόλις αὐτέων ἄνδρες Μακεδόνες διατεταγμένοι ἔσωζον, ὑπὸ Ἀλεξάνδρου ἀποπεμφθέντες· ἔσωζον δὲ τῇδε, βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ ὅτι τὰ Μήδων Βοιωτοὶ

---

etiam tunc erat, sicut nunc quoque est oraculum. Hoc delubrum posteaquam diripuere, incenderunt. Phocensium etiam quosdam ad montana insequuti ceperunt, et mulieres aliquot, præ multitudine stuprantium extinxerunt.

34. Prætergressi quoque Parapotamios, pervenere ad Panopeas. Inde copiæ delectu habito divisæ fuerunt: quarum plurima pars ac validissima cum ipso Xerxe Athenas versus tendens in Bœotos, in agrum Orchomeniorum ingressa est. Bœoti autem cum Medis universi sentiebant: quorum urbes viri Macedones in eis collocati, qui ab Alexandro missi fuerant, servaverunt, volentes planum facere Xerxi Bœotos sentire

φρονέοιεν. οὗτοι μὲν δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο.

λε΄. Ἄλλοι δὲ αὐτέων ἡγεμόνας ἔχοντες ὁρμέατο ἐπὶ τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, ἐν δεξιῇ τὸν Παρνησσὸν ἀπέργοντες. ὅσα δὲ καὶ οὗτοι ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσιναμώρεον· καὶ γὰρ τῶν Πανοπέων τὴν πόλιν ἐνέπρησαν, καὶ Δαυλίων, καὶ Αἰολιδέων. ἐπορεύοντο δὲ ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς, τῶνδε εἵνεκα, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, βασιλέϊ Ξέρξῃ ἀποδέξαιεν τὰ χρήματα. πάντα δ' ἐπιστέατο τὰ ἐν τῷ ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης, ὡς ἐγὼ πυνθάνομαι, ἄμεινον ἢ τὰ ἐν τοῖσι οἰκίοισι ἔλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μάλιστα τὰ Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα.

---

cum Medis. Et hi quidem barbari hac iter intenderunt.

35. Ceteri vero commissi ducibus Parnassum a dextra præstringentes, ad templum quod est Delphis processerunt; quicquid agri Phocensis etiam hi nanciscebantur, id omne fœdantes: nam et Panopensium oppidum incenderunt, et Dauliorum, et Æolidarum. Ideo autem hac ab aliis sejuncti pergebant, ut direpto quod Delphis est templo, pecunias monstrarent Xerxi regi: qui omnia quæ in eo templo erant memoratu digna, melius norat, ut ego audio, quam quæ in ædibus suis reliquerat; permultis assidue referentibus cum alia, tum præcipue Crœsi Halyattis filii donaria.

λϛ΄. Οἱ Δελφοὶ δὲ, πυνθανόμενοι ταῦτα, ἐς πᾶσαν ἀῤῥωδίην ἀπίκατο· ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες, ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημάτων, εἴ τέ σφεα κατὰ γῆς κατορύξουσι, εἴτε ἐκκομίσουσι ἐς ἄλλην χώρην. ὁ δὲ θεός σφεας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς εἶναι τῶν ἑωϋτοῦ προκατῆσθαι. Δελφοὶ δὲ ταῦτα ἀκούσαντες, σφέων αὐτέων πέρι ἐφρόντιζον· τέκνα μέν νυν καὶ γυναῖκας πέρην ἐς τὴν Ἀχαιΐην διέπεμψαν· αὐτέων δὲ οἱ μὲν πλεῖστοι ἀνέβησαν ἐς τοῦ Παρνησσοῦ τὰς κορυφὰς, καὶ ἐς τὸ Κωρύκιον ἄντρον ἀνηνείκαντο· οἱ δὲ ἐς Ἄμφισσαν τὴν Λοκρίδα ὑπεξῆλθον. πάντες δὲ ὦν οἱ Δελφοὶ ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν, καὶ τοῦ προφήτεω.

---

36. Hoc Delphi quum audissent, in extremam prorsus devenere formidinem: qua attoniti, deum de sacris opibus consultarunt, numquid eas humi defoderent, an alium in locum transportarent. Et deus illis interdixit, ne moverent: se enim idoneum esse, qui rebus suis præsideret. His auditis Delphi de semet ipsis curandum putaverunt, liberis uxoribusque in Achaiam trajectis. Ipsorum plerique quidem vertices Parnassi superaverunt, et ad Corycium antrum delati sunt; quidam ad Amphissam Locridem se subduxerunt. Ita omnes Delphi urbem deseruerunt, præter sexaginta viros, ac prophetam.

λζ'. Ἐπεὶ δὲ ἀγχοῦ τε ἔσαν οἱ βάρβαροι ἐπιόντες, καὶ ἀπώρεον τὸ ἱρὸν, ἐν τούτῳ ὁ προφήτης, τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ του νηοῦ ὅπλα προκείμενα ἔσωθεν ἐκ τοῦ μεγάρου ἐξενηνειγμένα ἱρὰ, τῶν οὐκ ὅσιον ἦν ἅπτεσθαι ἀνθρώπων οὐδενί. ὁ μὲν δὴ ἤϊε Δελφῶν τοῖσι παρεοῦσι σημανέων τὸ τέρας. οἱ δὲ βάρβαροι, ἐπειδὴ ἐγίνοντο ἐπειγόμενοι κατὰ τὸ ἱρὸν τῆς Προνηΐης Ἀθηναίης, ἐπιγίνεταί σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν γενομένου τέρεος. θώϋμα μὲν γὰρ καὶ τοῦτο κάρτα ἐστὶ, ὅπλα ἀρήϊα αὐτόματα φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ· τὰ δὲ δὴ ἐπὶ τούτῳ δεύτερα ἐπιγενόμενα, καὶ διὰ πάντων φασμάτων ἄξια θωϋμάσαι μάλιστα. ἐπεὶ γὰρ δὴ ἔσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς Προναίης

---

37. Postea vero quam barbari subeuntes appropinquabant, templumque cernebant, interim propheta cui nomen erat Aceratus, aspicit ante delubrum sacra arma proposita e penetrali, ab intus exprompta, quæ nefas erat cuiquam mortalium contingere: quod ostentum Delphis, qui aderant, perrexit nunciatum. Ubi autem barbari urgentes venere ad fanum Minervæ, quod est ante templum, tum vero etiam majora quam superius prodigia illis exhibita sunt. Nam et res hæc profecto valde miranda est, arma Martia sua sponte extra delubrum proposita apparuisse. Quod tamen secundo loco evenit, ex omnibus miraculis maxima est admiratione dignum: quum enim

Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ οὐρανοῦ κεραυνοὶ αὐτοῖσι ἐνέπιπτον, ἀπὸ δὲ τοῦ Παρνησσοῦ ἀποῤῥαγεῖσαι δύο κορυφαὶ ἐφέροντο πολλῷ πατάγῳ ἐς αὐτοὺς, καὶ κατέλαβον συχνούς σφεων· ἐκ δὲ τοῦ ἱροῦ τῆς Προναίης βοή τε καὶ ἀλαλαγμὸς ἐγίνετο.

λη΄. Συμμιγέντων δὲ τουτέων πάντων, φόβος τοῖσι βαρβάροισι ἐνεπεπτώκεε. μαθόντες δὲ οἱ Δελφοὶ φεύγοντάς σφεας, ἐπικαταβάντες, ἀπέκτειναν πλῆθός τι αὐτέων. οἱ δὲ περιεόντες, ἰθὺ Βοιωτῶν ἔφευγον. ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι καὶ ἄλλα ὥρων θεῖα· δύο γὰρ ὁπλίτας μέζονας ἢ κατὰ ἀνθρώπων φύσιν ἔχοντας, ἕπεσθαί σφι κτείνοντας καὶ διώκοντας.

---

barbari ad sacellum Minervæ, quod est ante templum, accederent, interea e cœlo fulmina in eos deciderunt; et a Parnasso duo abscissi vertices, magno cum fragore sunt devoluti, permultosque eorum interceperunt: atque ex ipso sacello Minervæ vociferatio jubilatioque extiterunt.

38. Quibus omnibus pariter ingruentibus, terror incussus est barbaris, ut fugæ se mandarent. Ea re cognita Delphi descendentes magnam eorum stragem edidere. Qui autem superfuere, recta ad Bœotos fugerunt: et qui ex eis redierunt, referebant, ut ego accipio, se præter ista etiam vidisse alia divina, duos armatos, humana natura augustiores, institisse sibi, cædem facientes atque insequentes.

λθ'. Τούτους δὲ τοὺς δύο Δελφοὶ λέγουσι ἐπιχωρίους ἥρωας εἶναι, Φύλακόν τε καὶ Αὐτόνοον, τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρὸν· Φυλάκου μὲν, παρ' αὐτὴν τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προναίης, Αὐτονόου δὲ, πέλας τῆς Κασταλίης, ὑπὸ τῇ Ὑαμπείῃ κορυφῇ. οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησσοῦ λίθοι, ἔτι καὶ ἐς ἡμέας ἔσαν σόοι, ἐν τῷ τεμένεϊ τῆς Προναίης Ἀθηναίης κείμενοι, ἐς τὸ ἐνέσκηψαν διά τῶν βαρβάρων φερόμενοι. τουτέων μέν νυν τῶν ἀνδρῶν αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλλαγὴ γίνεται.

μ'. Ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου, Ἀθηναίων δεηθέντων, ἐς Σαλαμῖνα κατίσχει τὰς νῆας. τῶν δὲ εἵνεκα προσεδεήθησαν αὐτέων σχεῖν πρὸς Σαλα-

39. Hos autem duos Delphi aiunt indigenas heroas esse, Phylacum et Autonoum, quorum fana exstant circa sacellum: Phylaci quidem, secundum ipsam viam super ædem Minervæ: Autonoi vero, prope Castaliam, sub Hyampeo vertice. Saxa autem quæ a Parnasso deciderunt, adhuc ad nostram usque memoriam salva erant in fano Minervæ Protemplaris locata, ad quod per barbaros devoluta pervenere. Atque hic discessus a templo horum virorum fuit.

40. Græcorum autem classis ab Artemisio profecta, rogatu Atheniensium ad Salaminem substitit. Quod ut facerent deo, rogaverant Athenienses, tum ut liberos atque uxo-

μῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς· πρὸς δὲ, καὶ βουλεύσωνται τὸ ποιητέον αὐτοῖσι ἔσται. ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι, ὡς ἐψευσμένοι γνώμης. δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν μεν εὗρον οὐδὲν ἐὸν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας τὴν Πελοπόννησον, περὶ πλείστου τε ποιευμένους περιεῖναι, καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τἄλλα δὲ ἀπιέναι. ταῦτα δὴ πυνθανόμενοι, οὕτω προσεδεήθησάν σφεων σχεῖν πρὸς τὴν Σαλαμῖνα.

μα΄. Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωϋτῶν. μετὰ

---

res ex Attica subducerent, tum ut consultarent quid sibi agendum esset. Nam pro rebus quæ contigerant, consilium capturi erant, tanquam opinione frustrati: quippe qui quum putassent, inventuros se Peloponnenses communiter ad accipiendum barbarum in Boeotia subsidentes, horum nihil invenerant, sed audiebant illos Isthmum ad Peloponnesum muro sepire, hoc plurimi facientes ut ipsi superessent, et istam obtinentes tutarentur, omissis ceteris. Hæc Athenienses quum audissent, ita socios obsecrarunt, ut ad Salaminem sisterent classem.

41. Quo aliis appulsis, Athenienses in terram suam profecti, præconio edixerunt, ut qua

δὲ τὴν ἄπιξιν, κήρυγμα ἐποιήσαντο, Ἀθηναίων τῇ τις δύναται σώζειν τὰ τέκνα τε καὶ τοὺς οἰκέτας. ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ, ἐς Αἴγιναν, οἱ δὲ, ἐς Σαλαμῖνα. ἔσπευσαν δὴ ταῦτα ὑπεκθέσθαι, τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν, καὶ δὴ καὶ τοῦδε εἵνεκα οὐκ ἥκιστα. λέγουσι οἱ Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτέεσθαι ἐν τῷ ἱρῷ. λέγουσί τε ταῦτα, καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια, μελιτόεσσά ἐστι. αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἀναισιμουμένη, τότε ἦν ἄψαυστος. σημηνάσης δὲ ταῦτα τῆς ἱρείης, μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν, ὡς καὶ τῆς θεοῦ ἀπολε-

---

quisque Atheniensium ratione posset servaret liberos atque domesticos. Ibi plurimi quidem Trœzenem miserunt, quidam in Æginam, nonnulli in Salaminem, pro se quisque properantes sua pignora exportare, et quod oraculo vellent obsecundare, et non minime propterea, quod Athenienses aiunt ingentem anguem arcis custodem in templo solitum obversari. Hæc et dicunt, et tanquam re vera esset, serpenti menstrua non cessant libamina proponere. Ea menstrua sunt placenta melle condita: quæ quum semper superioribus temporibus depasceretur, tunc illibata manserat. Id quum templi antistita indicasset, eo magis Athenienses eoque promptius

λοιπυίης τὴν ἀκρόπολιν. ὡς δέ σφι πάντα ὑπεξέκειτο, ἔπλωον ἐς τὸ στρατόπεδον.

μϐ΄. Ἐπεὶ δὲ οἱ ἀπ᾽ Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς νέας, συνέῤῥεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος. ἐς γὰρ Πώγωνα τὸν Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες ἢ ἐπ᾽ Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολίων πλεύνων. ναύαρχος μέν νυν ἐπῆν ὡϋτὸς ὅσπερ ἐπ᾽ Ἀρτεμισίῳ, Εὐρυϐιάδης ὁ Εὐρυκλείδεω, ἀνὴρ Σπαρτιήτης, οὐ μέντοι γένεος τοῦ βασιληΐου ἐών. νέας δὲ πολλῷ πλείστας τε καὶ ἄριστα πλωούσας παρείχοντο Ἀθηναῖοι.

μγ΄. Ἐστρατεύοντο δὲ οἵδε· ἐκ μὲν Πελοποννήσου Λακεδαιμόνιοι, ἑκκαίδεκα νῆας παρ-

---

deseruere urbem, tanquam a dea etiam destituta arce: exportatis itaque rebus omnibus, ad castra navigaverunt.

42. Posteaquam autem eos, qui ab Artemisio solverant, ad Salaminem substitisse auditum fuit, reliqui classiarii qui ad Trœzenem erant, eodem confluxere: nam ut in Pogonem Trœzeniorum portum coiretur erat edictum: ita multo plures contractæ sunt naves qnam ad Artemisium decertaverant, et a pluribus civitatibus, eodem quo ad Artemisium duce, Eurybiade Euryclidæ filio, viro Spartiata, non tamen e genere regio: quarum multo plurimas atque optime navigantes præbebant Athenienses.

43. Quæ classis ex his constabat: Ex Peloponneso Lacedæmonii sedecim naves præ-

εχόμενοι· Κορίνθιοι δὲ, τὸ αὐτὸ πλήρωμα παρεχόμενοι τὸ καὶ ἐπ' Ἀρτεμισίῳ· Σικυώνιοι δὲ, πεντεκαίδεκα παρείχοντο νῆας· Ἐπιδαύριοι δὲ, δέκα· Τροιζήνιοι δὲ, πέντε· Ἑρμιονέες δὲ, τρεῖς. ἐόντες οὗτοι, πλὴν Ἑρμιονέων, Δωρικόν τε καὶ Μακεδνὸν ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος ὕστατα ὁρμηθέντες. οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες, ὑπὸ Ἡρακλέος τε καὶ Μηλιέων ἐκ τῆς νῦν Δωρίδος καλεομένης χώρης ἐξαναστάντες. οὗτοι μέν νυν Πελοποννησίων ἐστρατεύοντο· οἱ δὲ ἐκ τῆς ἔξω ἠπείρου.

μδ'. Ἀθηναῖοι μὲν, πρὸς πάντας τοὺς ἄλλους, παρεχόμενοι νῆας ὀγδώκοντα καὶ ἑκατὸν μοῦνοι· ἐν Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι, διὰ

---

stabant: Corinthii, totidem quot ad Artemisium præstiterant: Sicyonii, quindecim: Epidaurii, decem: Trœzenii, quinque: Hermionenses, tres. Hi Doricæ ac Macednæ gentis, Hermionensibus exceptis, ex Erineo et Pindo et Dryopide novissime profecti: nam Hermionenses Dryopes sunt ab Hercule et Meliensibus e regione, quæ Doris nunc vocatur, abducti. Hæ copiæ Peloponnensium erant. Hi sunt in exteriore continente.

44. Athenienses quidem pares omnibus aliis, præstabant naves centum octoginta soli; quippe quibus non adfuerunt in pugna ad Salaminem gesta Platæenses, ob hanc caussam: quod quum Græci ab

τοιόνδε τι πρῆγμα. ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν περαίην τῆς Βοιωτίης χώρης πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν οἰκετέων. οὗτοι μέν νυν τούτους σώζοντες ἐλείχθησαν. Ἀθηναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλεομένην, ἦσαν Πελασγοὶ, οὐνομαζόμενοι Κραναοί· ἐπὶ δὲ Κέκροπος βασιλῆος ἐκλήθησαν Κεκροπίδαι· ἐκδεξαμένου δὲ Ἐρεχθῆος τὴν ἀρχὴν, Ἀθηναῖοι μετωνομάσθησαν· Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι, ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες.

με΄. Μεγαρέες δὲ τὠυτὸ πλήρωμα παρείχοντο τὸ καὶ ἐπ' Ἀρτεμισίῳ· Ἀμπρακιῶται

Artemisio discesserunt; ubi juxta Chalcidem appulsi fuere, Platæenses exscendentes in oppositam oram Bœotiæ, ad exportandos domesticos conversi sunt: ita dum in suis conservandis occupantur, relicti fuere. Athenienses autem sub Pelasgis eam quæ nunc Græcia nuncupatur tenentibus, Pelasgi erant, Cranai nominati; sub rege autem Cecrope, Cecropidæ sunt vocati; Erechtheo autem adepto imperium, immutato nomine Athenienses appellati: deinde Iones, ab Ione Xuthi filio, qui dux extitit Atheniensis exercitus.

45. Megarenses autem tantundem copiarum, quantum ad Artemisium, attulerunt: Ampraciotæ septem cum navibus

δὲ, ἑπτὰ νέας ἔχοντες ἐπεβώθησαν· Λευκάδιοι δὲ, τρεῖς. ἔθνος ἐόντες οὗτοι Δωρικὸν ἀπὸ Κορίνθου.

μϛʹ. Νησιωτέων δὲ, Αἰγινῆται τριήκοντα παρείχοντο. ἦσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες, ἀλλὰ τῇσι μὲν τὴν ἑωϋτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἄριστα πλωούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες, ἀπὸ Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. μετὰ δὲ Αἰγινήτας, Χαλκιδέες τὰς ἐπ' Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι, καὶ Ἐρετριέες τὰς ἑπτά. οὗτοι δὲ, Ἴωνές εἰσι. μετὰ δὲ, Κεῖοι, τὰς αὐτὰς παρεχόμενοι· ἔθνος ἐὸν Ἰωνικὸν ἀπὸ Ἀθηνέων. Νάξιοι δὲ παρείχοντο τέσσερας. ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιη-

auxilio venerunt: Leucadii cum tribus, Dorica gens, et a Corintho oriunda.

46. Ex insulanis autem Æginetæ triginta naves exhibuerunt: quibus aliæ quoque erant naves instructæ, sed iis oram suam tutabantur: verum cum triginta omnino navibus ad navigationem optimis ad Salaminem dimicaverunt. Sunt autem Æginetæ Dorienses, ab Epidauro, cui insulæ nomen antea fuerat Oenone. Post Æginetas easdem, quas ad Artemisium, viginti naves præbuere Chalcidenses: et Eretrienses, septem: hi Iones sunt. Dehinc autem Cei easdem præbuere, gens ab Athenis Ionica. Naxii autem naves præbuere quatuor, qui quemadmodum et ceteri insulani, a popularibus ad Medos missi erant, sed illorum jussa

τέων, κατάπερ ὦλλοι νησιῶται, ἀλογήσαντες δὲ τῶν ἐντολέων, ἀπίκατο ἐς τοὺς Ἕλληνας, Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου, καὶ τότε τριηραρχέοντος· Νάξιοι δέ εἰσι Ἴωνες ἀπ' Ἀθηνέων γεγονότες. Στυρέες δὲ τὰς αὐτὰς παρείχοντο νῆας τὰς καὶ ἐπ' Ἀρτεμισίῳ· Κύθνιοι δὲ, μίαν καὶ πεντηκόντερον· ἐόντες συναμφότεροι οὗτοι Δρύοπες. καὶ Σερίφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ ἔδοσαν μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ.

μζ'. Οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ Ἀχέροντος ποταμοῦ, ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ εἰσι οἱ ὁμουρέοντες Ἀμπρακιώτῃσι καὶ Λευκαδίοισι, οἳ ἐξ ἐσχατέων χωρέων ἐστρατεύοντο. τῶν δὲ ἐκτὸς του-

---

aspernati, transiere ad Græcos, suasu Democriti, viri inter cives illustris, et tunc trierarchi. Naxii autem Iones sunt ab Athenis ducentes originem. Styreenses quoque easdem quas in Artemisio naves præbuere. Cythnii unam omnino, et penteconterum: horum utrique Dryopes sunt. Seriphii etiam et Siphnii et Melii fuere in partibus: hi enim soli ex insulanis terram barbaro et aquam negaverunt.

47. Intra Thesprotos isti omnes et amnem Acherontem incolentes militabant. Siquidem Thesproti, sunt contermini Ampraciotis ac Leucadiis, ex ultimis regionibus in militiam profectis. Eorum autem qui extra hos habitant, soli fuere

τέων οἰκημένων, Κροτωνιῆται μοῦνοι ἔσαν οἵ ἐβώθησαν τῇ Ἑλλάδι κινδυνευούσῃ, νηΐ μιῇ, τῆς ἦρχε ἀνὴρ τρὶς πυθιονίκης, Φάϋλλος· Κροτωνιῆται δὲ γένος εἰσὶ Ἀχαιοί.

μη΄. Οἱ μέν νυν ἄλλοι, τριήρεας παρεχόμενοι ἐστρατεύοντο· Μήλιοι δὲ, καὶ Σίφνιοι, καὶ Σερίφιοι, πεντηκοντέρους. Μήλιοι μὲν, γένος ἐόντες ἀπὸ Λακεδαίμονος, δύο παρείχοντο· Σίφνιοι δὲ καὶ Σερίφιοι, Ἴωνες ἐόντες ἀπ᾽ Ἀθηνέων, μίαν ἑκάτεροι. ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, παρὲξ τῶν πεντηκοντέρων, τριηκόσιαι καὶ ἑβδομήκοντα καὶ ὀκτώ.

μθ΄. Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο, προθέντος Εὐρυβιάδεω, γνώμην ἀπο-

---

Crotoniatæ, qui Græciæ periclitanti auxilium una navi tulere, cui præerat Phayllus, vir ter Pythiorum victor. Sunt autem Crotoniatæ genere Achæi.

48. Et ceteri quidem ex hac classe triremes præbuerunt: Melii autem et Siphnii et Seriphii quinquaginta remorum naves, Melii duas, Siphnii Seriphiique unam utrique: Melii, a Lacedæmone genus ducentes; Siphnii et Seriphii, ab Athenis Iones. Summa navium, præter illas quinquaginta remorum, fuit trecentæ septuaginta octo.

49. Ut vero duces ex iis quas dixi urbibus ad Salaminem convenerunt, consultabatur, Eurybiade referente, ut qui vellet sententiam diceret, ubinam ex

φαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀφεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον, πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου· ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς, ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες, πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμίη ἐπιφανήσεται· πρὸς δὲ τῷ Ἰσθμῷ, ἐς τοὺς ἑωϋτῶν ἐξοίσονται.

ν΄. Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων, ἐλήλυθε ἀνὴρ Ἀθηναῖος, ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. ὁ γὰρ

---

iis locis, quibus ipsi potirentur, commodissimum videretur pugna navali decernere: jam enim Attica pro derelicta erat: itaque de ceteris deliberabatur. Pleræque igitur illorum sententiæ in hoc congruebant, ut profecti ad Isthmum ante Peloponnesum decertarent, hac videlicet ratione, quod, si male pugnassent, ad Salaminem quidem obsessis sibi in insula nullum subsidium obstendebatur; ad Isthmum vero dabatur ad suos effugium.

50. Hæc ratio quum a ducibus, qui ex Peloponneso erant, redderetur, advenit quidam Atheniensis nunciatum, jam Atticam barbarum ingredi, eamque omnem igne vastare: nam copiæ quæ cum Xerxe erant,

διὰ Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν, αὐτέων ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡσαύτως, ἧκέ τε ἐς τὰς Ἀθήνας, καὶ πάντα ἐκεῖνα ἐδηΐου. ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν, πυθόμενος Θηβαίων ὅτι οὐκ ἐμήδιζον.

να΄. Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρίψαντες μῆνα, ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μησὶ ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι. καὶ αἱρέουσι ἔρημον τὸ ἄστυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ, καὶ πένητας ἀνθρώπους· οἳ φραξάμενοι

Bœotiam peragrantes, incensa tum Thespiensium, qui in Peloponnesum abscesserant, tum Platæensium urbe, Athenas pervenerant, et omnia illa pervastabant. Ideo autem Thespiam et Platæam incenderunt, quod a Thebanis acceperant illas civitates non sentire cum Medis.

51. A trajectu autem Hellesponti ex quo iter ingredi cœpere barbari, unum mensem trivere transeundo in Europam, tres alios dum in Atticam pervenere, Calliade summum Athenis magistratum gerente; urbemque desertam cepere, paucis quibusdam Atheniensibus in templo repertis, nec non quæstoribus templi, et hominibus egenis, qui præsepta foribus atque lignis arce subeuntes

τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι, ἠμύνοντο τοὺς ἐπιόντας· ἅμα μὲν ὑπ' ἀσθενίης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα· πρὸς δὲ, αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήϊον τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι· καὶ αὐτὸ δὴ τοῦτο εἶναι τὸ κρησφύγετον κατὰ τὸ μαντήϊον, καὶ οὐ τὰς νῆας.

νβ'. Οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλέουσι Ἀρήϊον πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε. ὅκως στυπεῖον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι, ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι, καὶ τοῦ φράγματος προδεδωκότος· οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόν-

---

arcebant: qui non exierant illinc ad Salaminem, simul præ inopia victus, simul opinione oraculi intellecti, quod reddiderat ipsis Pythia, murum ligneum inexpugnabilem fore: id interpretantes ex oraculo effugium esse, non naves.

52. Hos Persæ, castris ex adverso arcis positis in colle, quem Martium collem Athenienses vocant, hunc in modum obsederunt: Sagittas stupa circumdatas ubi incenderant, emittebant in sepem. Athenienses, quanquam obsessi, et ad ultimum malorum deducti, etiam quum sepes prodidisset, tamen resistebant; ac ne verba quidem Pisistratidarum condi-

τῶν περὶ ὁμολογίης ἐνεδέκοντο· ἀμυνόμενοι δὲ, ἄλλα τε ἀντεμηχανέοντο, καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας, ὁλοιτρόχους ἀπίεσαν, ὥς τε Ξέρξεα ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι, οὐ δυνάμενόν σφεας ἑλεῖν.

νγ΄. Χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος τοῖσι βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ, γενέσθαι ὑπὸ Πέρσῃσι. ἔμπροσθεν ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθεν δὲ τῶν πυλέων, καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε, οὔτ' ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοιπερ ἀποκρήμνου ἐόντος τοῦ χώρου. ὡς δὲ εἶδον

---

tionem deditionis offerentium admittebant: et cum alia ad repugnandum excogitarunt, tum vero hoc, quod in barbaros portis subeuntes devolvebant saxa molaria: adeo ut Xerxes perdiu inops consilii fuerit, quod eos expugnare non posset.

53. Tandem ex difficultatibus accessus quidam apparuit barbaris: necesse enim erat, secundum oraculum, omnem Atticam quæ in continente est, subjici Persis. Igitur a fronte arcis, a tergo autem portarum et ascensus, qua parte nemo excubabat, quaque nemo credebat quempiam hominum ascensurum, hac parte, etsi loco prærupto, quidam ascenderunt, juxta templum Aglauri filiæ Cecropis. Quos ubi in arcem as-

αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐῤῥίπτεον ἑωϋτοὺς κατὰ τοῦ τείχεος κάτω, καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες, πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες, τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες, ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

νδʹ. Σχὼν δὲ παντελέως τὰς Ἀθηνας Ξέρξης, ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα, Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωϋτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν· εἴτε δὴ ὦν ὄψιν τινὰ ἰδὼν

---

cendisse viderunt Athenienses, partim e muro sese præcipitaverunt, atque extincti sunt, partim in ædem refugerunt. At Persæ qui ascenderant, primum ad portas contendunt, eisque patefactis supplices trucidant: atque ubi omnium stragem secerunt, direpto templo arcem totam incendunt.

54. Athenis omnino Xerxes potitus, equitem nuncium Susa mittit Artabano nunciaturum felicitatem præsentem. Postero die quam nuncium miserat, convocatis Atheniensium exulibus, expeditionis suæ comitibus, jussit ut conscensa arce hostias suo ritu immolarent: sive ita jusserit ex aliquo in

ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθύμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρὸν. οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.

νέ. Τοῦ δὲ εἵνεκεν τουτέων ἐπεμνήσθην, φράσω. ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθῆος τοῦ γηγενέος λεγομένου εἶναι νηὸς, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι· τὰ λόγος παρ' Ἀθηναίων Ποσειδέωνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης, μαρτύρια θέσθαι. ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος, Ἀθηναῖοι οἱ θύειν ὑπὸ βασιλῆος κελευόμενοι, ὡς ἀνέβησαν ἐς τὸ ἱρὸν, ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. οὗτοι μέν νυν ταῦτα ἔφρασαν.

---

somniis visu, sive religio ei fuerit objecta, quod templum concremasset. Exules Athenienses id quod jussi erant exequuti sunt.

55. Cujus rei cur mentionem fecerim exponam: Est in arce hac, Erechthei, qui fertur fuisse terrigena, templum, in quo olea est et mare, ut apud Athenienses prædicatur, Neptuno et Minervæ in testimonium posita, quod de regione decertassent. Hanc igitur oleam una cum cetero templo contigit ab barbaris exuri: quam Athenienses, qui ab rege jussi erant rem divinam facere, altero ab incensione die quum in templum adscendissent, aspexerunt fruticasse, edito a stipite virgulto cubiti instar.

νϛ΄. Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὥς σφι ἐξηγγέλθη ὡς ἔσχε τὰ περὶ τὴν Ἀθηναίων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο, ὡς ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἔς τε τὰς νῆας ἐσέπιπτον, καὶ ἱστία ἀείροντο ὡς ἀποθευσόμενοι· τοῖσί τε ὑπολειπομένοισι αὐτέων ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. νύξ τε ἐγένετο, καὶ οἱ διαλυθέντες ἐκ τοῦ συνεδρίου, ἐσέβαινον ἐς τὰς νῆας.

νζ΄. Ἐνθαῦτα δὴ Θεμιστοκλῆα ἀπικόμενον ἐπὶ τὴν νῆα, εἴρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅ, τι σφι εἴη βεβουλευμένον. πυθόμενος δὲ πρὸς αὐτοῦ ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμὸν, καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε, " Οὔτοι ἄρα

---

56. Et hæc quidem illi narraverunt. At Græci qui apud Salaminem erant, ubi nunciatum est, uti res circa Atheniensium arcem se haberent, eo perturbationis devenere, ut nonnulli e ducibus non expectarent, dum propositum negotium constitueretur, sed in naves irruerent, ac vela tollerent tanquam profecturi: ceterique qui relinquebantur, statuerent sibi ante Isthmum prœlio navali decernendum. Et quum nox adfuisset, digressi e concilio, naves conscenderunt.

57 Ibi Themistoclem pergentem ad navem sciscitatur Mnesiphilus vir Atheniensis, quidnam ab ipsis decretum esset, et quum ab eo audisset decretum esse, ut ad Isthmum navigarent, et ante Peloponnesum dimicarent. Si isti, inquit, a-

" ἢν ἀπαίρωσι τὰς νῆας ἀπὸ Σαλαμῖνος,
" περὶ οὐδεμιῆς ἔτι πατρίδος ναυμαχήσεις.
" κατὰ γὰρ πόλις ἕκαστοι τρέψονται· καὶ
" οὔτε σφεας Εὐρυβιάδης κατέχειν δυνήσε-
" ται, οὔτε τις ἀνθρώπων ἄλλος, ὥστε μὴ
" οὐ διασκεδασθῆναι τὴν στρατιήν· ἀπολέεταί
" τε ἡ Ἑλλὰς ἀβουλίῃσι. ἀλλ' εἴτις ἐστι
" μηχανὴ, ἴθι, καὶ πειρῶ διαχέαι τὰ βε-
" βουλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυ-
" βιάδεα μεταβουλεύσασθαι, ὥστε αὐτοῦ
" μενέειν."

νή. Κάρτα δὴ τῷ Θεμιστοκλέϊ ἤρεσε ἡ ὑποθήκη· καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος, ἤϊε ἐπὶ τὴν νῆα τὴν Εὐρυβιάδεω. ἀπικόμενος δὲ, ἔφη θέλειν οἱ κοινόν τι πρηγμα συμμίξαι. ὁ δ' αὐτὸν ἐς τὴν νῆα ἐκέλευε ἐσβάντα λέγειν

Salamine proficiscantur, jam tu pro nulla adhuc patria dimicabis: ad suam enim quique patriam remeabunt: ut nec Eurybiades, nec alius hominum quispiam illos cohibere possit, quominus copiæ dilabantur; Græciaque peribit consilii inopia. Quare siquid comminisci potes, perge, et quæ decreta sunt tenta disjicere, si forte possis Eurybiadem a sententia revocare, ut hic perstet.

58. Themistocles, quum hæc admonita sibi admodum probarentur, nullo reddito responso ad Eurybiadæ navem perrexit: ubi hominem conveniens, ait velle se de negotio communi cum eo colloqui. Hunc ille in navem ingressum jubet loqui, quæ vellet; cui Themistocles

εἴτι θέλει. ἐνθαῦτα ὁ Θεμιστοκλέης παρεζόμενός οἱ καταλέγει κεῖνά τε πάντα τὰ ἤκουσε Μνησιφίλου, ἑωϋτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προστιθείς· ἐς ὃ ἀνέγνωσε χρηΐζων ἔκ τε τῆς νηὸς ἐκβῆναι, συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον.

νθ'. Ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδεα προθεῖναι τὸν λόγον, τῶν εἵνεκα συνήγαγε τοὺς στρατηγοὺς, πολὺς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι, οἷα κάρτα δεόμενος. λέγοντος δὲ αὐτοῦ, ὁ Κορίνθιος στρατηγὸς Ἀδείμαντος ὁ Ὠκύτου εἶπε, "Ὦ "Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανι"στάμενοι ῥαπίζονται." ὁ δὲ, ἀπολυόμενος, ἔφη, "Οἱ δέ γε ἐγκαταλειπόμενοι οὐ στε"φανεῦνται."

---

assidens, quæcunque a Mnesiphilo acceperat, tanquam a semetipso refert, et alia adjicit multa, donec eum orando a sententia revocavit; persuasitque ut e navi prodiret, et duces ad concilium contraheret.

59. Ii posteaquam congregati sunt, priusquam ad eos Eurybiades referret id cujus gratia ipsos coëgerat, Themistocles multis agebat verbis, prout magnopere expetebat. Quem interfatus Corinthiorum dux Adimantus Ocyti filius, Themistocles, inquit, in certaminibus, ii, qui ante tempus surgunt, flagris cæduntur. Eum refellens Themistocles, At, inquit, qui domi relinquuntur, non coronantur.

ξ΄. Τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο. πρὸς δὲ τὸν Εὐρυβιάδεα ἔλεγε ἐκείνων μὲν ἔτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαίρωσι ἀπὸ Σαλαμῖνος, διαδρήσονται· παρεόντων γὰρ τῶν συμμάχων, οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε. "Ἐν σοὶ "νῦν ἐστι σῶσαι τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ "ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ "πειθόμενος τουτέων τοῖσι λέγουσι, ἀναζεύ-"ξῃς πρὸς τὸν Ἰσθμὸν τὰς νῆας· ἀντίθες γὰρ "ἑκάτερον, ἀκούσας. πρὸς μὲν τῷ Ἰσθμῷ "συμβάλλων, ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυ-"μαχήσεις, ἐς ὃ ἥκιστα ἡμῖν σύμφορόν ἐστι, "νῆας ἔχουσι βαρυτέρας, καὶ ἀριθμὸν ἐλάσ-"σονας· τοῦτο δὲ, ἀπολέεις Σαλαμῖνά τε

---

60. Comiter autem Corinthio quum respondisset, ad Eurybiadem conversus, nihil amplius eorum dicebat, quæ dixerat prius, illos, posteaquam a Salamine profecti fuissent, dilapsuros: præsentibus enim sociis, putabat sibi minime decorum accusare, sed aliunde oratione sumpta, In te nunc, inquit, situm est servare Græciam, si mihi assentiens, navale prœlium hic manens facias, et non ab horum quibusdam orantibus persuasus, classem ad Isthmum retrahas: utrumque enim, quum audieris, inter se comparato. Si ad Isthmum confliges, in patenti pelago dimicabis, ubi nobis minimum expedit, naves habentibus et graviores et numero inferiores. Ex quo, etiam si in aliis feliciter nobis omnia sint eventura, tamen amittes

" καὶ Μέγαρα καὶ Αἴγιναν, ἤνπερ καὶ τὰ
" ἄλλα εὐτυχήσωμεν. ἅμα γὰρ τῷ ναυτικῷ
" στρατῷ αὐτέων ἕψεται καὶ ὁ πεζὸς στρα-
" τός· καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν
" Πελοπόννησον, κινδυνεύσεις τε ἁπάσῃ τῇ
" Ἑλλάδι. ἢν δὲ τὰ ἐγὼ λέγω ποιήσῃς,
" τοσάδε ἐν αὐτοῖσι χρηστὰ εὑρήσεις. πρῶ-
" τα μὲν, ἐν στεινῷ συμβάλλοντες νηυσὶ ὀλί-
" γῃσι πρὸς πολλὰς, ἢν τὰ οἰκότα ἐκ τοῦ
" πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν. τὸ
" γὰρ ἐν στεινῷ ναυμαχέειν, πρὸς ἡμέων ἐστι·
" ἐν εὐρυχωρίῃ δὲ, πρὸς ἐκείνων. αὖτις δὲ,
" Σαλαμὶς περιγίνεται, ἐς τὴν ἡμῖν ὑπεκ-
" κειται τέκνα τε καὶ γυναῖκες. καὶ μὴν καὶ
" τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ περιέχεσθε
" μάλιστα· ὁμοίως αὐτοῦ τε μένων, προ-

Salaminem et Megara et Æginam: nam illorum navales vires una comitabitur suus pedester exercitus: atque ita tu eos in Peloponnesum duces, omnemque Græciam discrimini objicies. Sin autem id feceris quod suadeo, hæc in eo reperies commoda: Primum si in arcto conflixerimus, paucæ naves cum multis, profecto si probabilia ex bello contingent, multo superiores erimus: quoniam in arcto pugnare, pro nobis est; in spatioso, pro illis. Præterea Salamis servatur, ubi nostri nunc liberi collocati sunt et uxores. Est in his et aliud in quod etiam præcipue incumbitis; hic manens similiter pro Peloponneso pugnabis, perinde ac ad Isthmum: neque illos, si sapis,

" ναυμαχήσεις Πελοποννήσου, καὶ πρὸς τῷ
" Ἰσθμῷ· οὐδὲ σφεας, εἴπερ εὖ φρονέεις ἄξεις
" ἐπὶ τὴν Πελοπόννησον. ἢν δέ γε καὶ τὰ ἐγὼ
" ἐλπίζω γένηται, καὶ νικήσωμεν τῇσι νηυσὶ,
" οὔτε ἡμῖν ἐς τὸν Ἰσθμὸν παρέσονται οἱ βάρ-
" βαροι, οὔτε προβήσονται ἑκαστέρω τῆς Ἀτ-
" τικῆς, ἀπίασί τε οὐδενὶ κόσμῳ. Μεγάροι-
" σί τε κερδανέομεν περιεοῦσι, καὶ Αἰγίνῃ
" καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν καί λόγιόν ἐστι
" τῶν ἐχθρῶν κατύπερθε γενέσθαι. οἰκότα μὲν
" νυν βουλευομένοισι ἀνθρώποισι, ὡς τοεπίπαν
" ἐθέλει γίνεσθαι· μὴ δὲ οἰκότα βουλευομέ-
" νοισι, οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν
" πρὸς τὰς ἀνθρωπηΐας γνώμας."

ξα'. Ταῦτα λέγοντος Θεμιστοκλέους, αὖ-
τις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾷν
τε κελεύων τῷ μὴ ἔστι πατρὶς, καὶ Εὐρυ-

---

ad Peloponnesum duces. Quod si id quod spero continget, ut classe vincamus, barbari neque ad Isthmum nobis aderunt, neque longius ab Attica procedent, sed nullo ordine abeunt; et nobis lucrifaciemus quæ servaverimus, Megara, Æginamque, atque Salaminem, in qua etiam nobis oraculum dicit hostibus fore superiores. Consentanea equidem rationi deliberantibus, ut plurimum solent evenire: secus facientibus ne deus quidem solet velle accedere ad humanas sententias.

61. Hæc dicentem Themistoclem rursus interpellabat Corinthius Adimantus, jubens silere eum, cui patria non esset, &

βιάδεα οὐκ ἐῶν ἐπιψηφίζειν ἄπολι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλῆα παρεχόμενον, οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. ταῦτα δέ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. τότε δὴ ὁ Θεμιστοκλέης κεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε· ἑωϋτοῖσι τε ἐδήλου λόγῳ, ὡς εἴη καὶ πόλις καὶ γῆ μέζων ἤπερ κείνοισι, ἔς τ' ἂν διηκόσιαι νῆές σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων αὐτοὺς ἐπιόντας ἀποκρούσεσθαι.

ξβ'. Σημαίνων δὲ ταῦτα τῷ λόγῳ, διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα, "Σὺ εἰ μενέεις αὐτοῦ, καὶ μέ-"νων ἔσεαι ἀνὴρ ἀγαθός· εἰ δὲ μή, ἀνατρέ-"ψεις τὴν Ἑλλάδα. τὸ πᾶν γὰρ ἡμῖν τοῦ

---

quin etiam Eurybiadem non sinens ex viri extorris sententia decernere, et ita demum id permittere, quum urbem Themistocles habuisset: videlicet hæc exprobrans, quod Athenæ captæ essent, tenerenturque ab hoste. Tunc Themistocles, et illi et Corinthiis multa ingerens probra, oratione ostendit, sibi esse et solum, et urbem majorem quam illis, quamdiu naves ducentæ ipsis adessent sociis navalibus ac militibus armatæ, quas nulli Græcorum invadentes possent depellere.

62. Hæc sermone significasset, ad Eurybiadem transiens, majori cum acrimonia loquebatur, inquiens, Tu vero si hic manes, vir eris egregius: sin minus, Græciæ eversor: totum

" πολέμου φέρουσι αἱ νῆες. ἀλλ' ἐμοὶ πείθεο. " εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μὲν ὡς " ἔχομεν ἀναλαβόντες τοὺς οἰκέτας, κομιεύ- " μεθα ἐς Σίριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέ- " ρη τέ ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια " λέγει, ὑπ' ἡμέων αὐτὴν δέειν κτισθῆναι· " ὑμεῖς δὲ συμμάχων τοιῶνδε μουνωθέντες, " μεμνήσεσθε τῶν ἐμῶν λόγων.".

ξγ', Ταῦτα δὲ Θεμιστοκλῆος λέγοντος, ἀνεδιδάσκετο Εὐρυβιάδης. δοκέειν δέ μοι, ἀῤῥωδήσας μάλιστα τοὺς Ἀθηναίους, ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νῆας. ἀπολιπόντων γὰρ Ἀθηναίων, οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. ταύτην δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαναυμαχέειν.

---

enim belli momentum nobis naves sustinent. Sed mihi crede, nisi hoc feceris, nos, prout sumus, ubi domesticos receperimus, profecturos ad Sirin quæ est in Italia, et ab prisco tempore nostra ea fuit, et quam, ut oracula aiunt, a nobis condi oportet. Vos autem talibus sociis destituti meorum verborum reminiscemini.

63. Hæc dicente Themistocle Eurybiades edocebatur: et ob id edocebatur, ut mihi videtur, quod maxime formidabat, ne si ad Isthmum classem eduxisset, ab Atheniensibus desereretur: quibus deserentibus, jam reliqui non essent in pugnando hostibus pares. Ita sententiam eam probavit, ut illic permanentes, pugna navali decernerent.

ξδ΄. Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα, ἔπεσι ἀκροβολισάμενοι, ἐπεί τε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἡμέρη τε ἐγίνετο, καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι, καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα. εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλέοντο· ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλλους Αἰακίδας νῆα ἀπέστελλον ἐς Αἴγιναν.

ξε΄. Ἔφη δὲ Δικαῖος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος φυγάς τε καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν χρόνον, ἐπεί τε ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ πεζοῦ στρα-

---

64. Quod ubi Euryabidi placuit, ii, qui altercationibus velitati fuerant circa Salaminem, quum illic sese appararent tanquam prœlium navale facturi, dies illuxit: et simul oriente sole extitit terræ et maris motus; propter quod visum est votum diis faciendum, et ut Æacidas in auxilium invocarent. Decretum factumque. Nam post omnibus diis vota nuncupata, illinc e Salamine et Ajacem et Telamonem invocaverunt, navemque ad Æacum et alios Æacidas Æginam miserunt.

65. Narrabat autem Dicæus Theocydis filius, vir Atheniensis, atque exul, et apud Medos factus illustris, per id tempus, quo Attica regio Atheniensibus

τοῦ τοῦ Ξέρξεω, ἐοῦσα ἐρῆμος Ἀθηναίων, τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ ἐν τῷ Θριασίῳ πεδίῳ· ἰδεῖν δὲ κονιορτὸν χωρέοντα ἀπὸ Ἐλευσῖνος, ὡς ἀνδρῶν μάλιστά κη τρισμυρίων· ἀποθωϋμάζειν τέ σφεας τὸν κονιορτὸν, ὅτεών κοτε εἴη ἀνθρώπων, καὶ πρόκα τε φωνῆς ἀκούειν, καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν Ἴακχον. εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν τῶν ἐν Ἐλευσῖνι γινομένων τὸν Δημάρητον· εἴρεσθαί τε αὐτὸν ὅ, τι τὸ φθεγγόμενον εἴη τοῦτο. αὐτὸς δὲ εἶπαι, "Δημάρητε, οὐκ ἔστι ὅκως οὐ μέγα τι "σῖνος ἔσται τῇ βασιλῆος στρατιῇ. τάδε "γὰρ ἀρίδηλα, ἐρήμου ἐούσης τῆς Ἀττικῆς, "ὅτι θεῖον τὸ φθεγγόμενον, ἀπ' Ἐλευσῖνος "ἰὸν ἐς τιμωρίην Ἀθηναίοισί τε καὶ τοῖσι

---

desolata, a pedestri Xerxis exercitu vastabatur, se forte fuisse una cum Demarato Lacedæmonio apud campum Thriasium, vidisseque pulverem triginta ferme millium virorum procedentem ab Eleusine: et quum demirarentur quorumnam hominum esset ille pulvis, statim se audisse vocem, quæ vox ipsi videretur Iacchus mysticus: et Demaratum, ut qui esset sacrorum quæ fierent in Eleusine ignarus, interrogasse quidnam esset quod ita sonaret? seque dixisse, Demarate, non aberit quin grandis aliqua clades contingat regis copiis. Hoc enim palam est, quum Attica sit desolata, numen ab Eleusine resonans, venire auxilio Atheniensibus ac sociis: et si-

“ συμμάχοισι. καὶ ἢν μέν γε κατασκήψῃ
“ ἐς τὴν Πελοπόννησον κίνδυνος αὐτῷ τε βα-
“ σιλέϊ καὶ τῇ στρατιῇ τῇ ἐν τῇ ἠπείρῳ
“ ἔσται· ἢν δὲ ἐπὶ τὰς νῆας τράπηται τὰς
“ ἐν Σαλαμῖνι, τὸν ναυτικὸν στρατὸν κινδυ-
“ νεύσει βασιλεὺς ἀποβαλέειν. τὴν δὲ ὁρτὴν
“ ταύτην ἄγουσι Ἀθηναῖοι ἀνὰ πάντα ἔτεα
“ τῇ μητρὶ καὶ τῇ κόρῃ, καὶ αὐτέων τε ὁ
“ βουλόμενος καὶ τῶν ἄλλων Ἑλλήνων μυεῖ-
“ ται· καὶ τὴν φωνὴν τῆς ἀκούεις, ἐν ταύτῃ
“ τῇ ὁρτῇ ἰακχάζουσι.” πρὸς ταῦτα εἶπαι
Δημάρητον, “ Σίγα τε καὶ μηδενὶ ἄλλῳ
“ τὸν λόγον τοῦτον εἴπῃς· ἢν γάρ τοι ἐς βα-
“ σιλῆα ἀνενειχθῇ τὰ ἔπεα ταῦτα, ἀποβα-
“ λέεις τὴν κεφαλήν· καί σε οὔτε ἐγὼ δυνή-
“ σομαι ῥύσασθαι, οὔτ᾽ ἄλλος ἀνθρώπων

quidem in Peloponnesum incumbat, periculum ipsi regi erit, ejusque copiis, quæ sunt in continente: sin ad classem, quæ ad Salaminem est vertatur, periculum adibet rex, ne nauticum amittat exercitum. Hæc autem solennia Athenienses quotannis celebrant Cereri atque Proserpinæ; et his sacris quicunque vult etiam aliorum Græcorum initiatur: et vocem quam audis, in hoc festo per Iacchum emittunt. Ad hæc dixisse Demaratum, sile, neve alteri cuiquam hunc sermonem dixeris: nam si ad regem referantur hæc verba, capite plecteris, ut nec ego te nec alius quispiam hominum queat eripere: quamobrem tene silentium: hæc autem expeditio diis

" οὐδείς. ἀλλ' ἔχ' ἥσυχος. περὶ δὲ στρατιῆς " τῆσδε θεοῖσι μελήσει." τὸν μὲν δὴ ταῦτα παραινέειν. ἐκ δὴ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι νέφος, καὶ μεταρσιωθὲν, φέρεσθαι ἐπὶ Σαλαμῖνος, ἐπὶ τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων. οὕτω δὲ αὐτοὺς μαθεῖν ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω ἀπολέεσθαι μέλλοι. ταῦτα μὲν Δικαῖος ὁ Θεοκύδεος ἔλεγε, Δημαρήτου τε καὶ ἄλλων μαρτύρων καταπτόμενος.

ξϛ'. Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν ταχθέντες, ἐπειδὴ ἐκ Τρηχῖνος θεησάμενοι τὸ τρῶμα τὸ Λακωνικὸν, διέβησαν ἐς τὴν Ἱστιαίην, ἐπισχόντες ἡμέρας τρεῖς, ἔπλωον δι' Εὐρίπου, καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. ὡς μὲν ἐμοὶ δοκέειν, οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν, ἐσέβαλον ἐς τὰς

curæ erit. Hoc quidem Demeratum admonuisse. Ex illo autem pulvere ac voce coïisse nubem, eamque in sublime eductam, Salaminem versus ad Græcorum exercitum fuisse delatam. Ita ipsos didicisse nauticas Xerxis copias esse perituras. Hæc Dicæus Theocydis filius referebat, Demaratum atque alios testes citans.

66. Classiariæ autem Xerxis copiæ, ubi conspecta strage Laconum ex Trachine in Histiæam trajecerunt, triduum illic moratæ, per Euripum navigabant, et intra totidem dies ad Phalerum præsto fuerunt. Nec vero minore, ut mihi videtur, numero, vel qui terra venerunt vel qui navibus, Athenas invaserunt, quam quum ad Sepra.

Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νηυσὶ ἀπικόμενοι, ἢ ἐπί τε Σηπιάδα ἀπίκοντα καὶ ἐς Θερμοπύλας. ἀντιθήσω γὰρ τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτέων ἀπολομένοισι, καὶ τοῖσι ἐν Θερμοπύλῃσι, καὶ τῇσι ἐπ' Ἀρτεμισίῳ ναυμαχίῃσι, τούσδε τοὺς τότε οὔκω ἑπομένους βασιλέϊ, Μηλιέας τε καὶ Δωριέας, καὶ Λοκροὺς, καὶ Βοιωτοὺς, πανστρατιῇ ἑπομένους, πλὴν Θεσπιέων τε καὶ Πλαταιέων· καὶ μάλα Καρυστίους τε καὶ Ἀνδρίους, καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων, τῶν ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. ὅσῳ γὰρ δὴ προσέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεά οἱ εἵπετο.

ξζ'. Ἐπεὶ ὦν ἀπίκατο ἐς τὰς Ἀθήνας

---

dem atque Thermopylas accesserunt: nam in supplementum eorum qui aut tempestate, aut ad Thermopylas, aut in navalibus ad Artemisium prœliis interierunt, hos substituam, qui nondum regem tunc sequebantur, Melienses, Dorienses, Locros, Bœotos, qui cum omni copia advenerunt, exceptis Thespiensibus et Platæensibus: nec non Carystios, Andrios, Tenios, ac ceteros omnes insulanos, præter quinque civitates, quarum nomina superius commemoravimus: nam quo magis penetrabat intro in Græciam Perses, eo plures eum nationes sequebantur.

67. Qui omnes, exceptis Pariis, postquam Athenas venere, et ad Phalerum, Parii autem in

πάντες οὗτοι πλὴν Παρίων· Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ, ἐκαραδόκεον τὸν πόλεμον τῇ ἀποβήσεται· οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νῆας, ἐθέλων σφι συμμῖξαι τε καὶ πυθέσθαι τῶν ἐπιπλωόντων τὰς γνώμας. ἐπεὶ δὲ ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι καὶ ταξίαρχοι ἀπὸ τῶν νηῶν, καὶ ἵζοντο, ὥς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε· πρῶτος μὲν, ὁ Σιδώνιος βασιλεύς· μετὰ δὲ, ὁ Τύριος· ἐπὶ δὲ, ὦλλοι. ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο, πέμψας Ξέρξης Μαρδόνιον, εἰρώτα, ἀποπειρώμενος ἑκάστου, εἰ ναυμαχίην ποιέοιτο.

ξή. Ἐπεὶ δὲ περιϊὼν εἰρώτα ὁ Μαρδόνιος ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ μὲν δὴ ἄλ-

---

Cythno relicti, quo bellum caderet expectabant, ceteri ergo ut venerunt ad Phalerum, ibi Xerxes ipse ad classem descendit, animo cœtum classiariorum adeundi, et audiendi sententias. Eo profectus ubi præsedit, assidentibus, qui accitu ejus ex navibus aderant, suæ quibusque gentis tyrannis ac ordinum ductoribus, ut cuique rex honorem dederat; quorum primus erat Sidonius rex, tum Tyrius, deinceps alii. Sic ubi deinceps ordine consederunt, misit ad eos Mardonium tentandi gratia, sciscitatum singulos, an prœlium navale faceret.

68. Posteaquam Mardonius a Sidonio exorsus, singulos circumiens interrogavit, ceteri quidem eandem dixere senten-

λοι, κατὰ τὠυτὸ γνώμην ἐξεφέροντο, κελεύοντες ναυμαχίην ποιέεσθαι. Ἀρτεμισίη δὲ τάδε ἔφη, "Εἶπαί μοι πρὸς βασιλῆα, Μαρ-"δόνιε, ὡς ἐγὼ τάδε λέγω, οὔτε κακίστην "γενομένην ἐν τῇσι ναυμαχίῃσι τῇσι πρὸς Εὐ-"βοίῃ, οὔτε ἐλάχιστα ἀποδεξαμένην, δέσπο-"τα, τὴν δὲ ἐοῦσαν γνώμην με δίκαιόν ἐστιν "ἀποδείκνυσθαι, τὰ τυγχάνω φρονέουσα ἄρι-"στα ἐς πρήγματα τὰ σά. καίτοι τάδε λέ-"γω, φείδεο τῶν νηῶν, μηδὲ ναυμαχίην ποι-"έεο. τοὶ γὰρ ἄνδρες τῶν σῶν ἀνδρῶν κρέσ-"σονες τοσοῦτόν εἰσι κατὰ θάλασσαν, ὅσον "ἄνδρες γυναικῶν. τί δὲ πάντως δέει σε ναυ-"μαχίῃσι ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν "τὰς Ἀθήνας, τῶνπερ εἵνεκα ὡρμήθης "στρατεύεσθαι; ἔχεις δὲ τὴν ἄλλην Ἑλλά-"δα; ἐμποδὼν δέ τοι ἵσταται οὐδείς· οἳ δὲ

---

tiam, jubentes fieri prœlium: Artemisia vero, Hæc, inquit, Mardonie, regi referas me dicere, quæ in prœliis ad Eubœam gestis non ignavissima extiti, neque minima ostendi, domine. Sententiam vero quam habeo, æquum est me proferre quæ in rem tuam maxime esse sentio. Itaque hoc tibi suadeo, ut navibus parcas, nec prœlium navale facias; illi enim viri tanto sunt tuis viris in mari præstantiores, quanto feminis viri. Quid vero necesse habes omnino venire in discrimen pugnæ navalis? nonne Athenas habes, quarum gratia expeditionem sumsisti? nonne reliquam Græciam? ac nemo tibi

“ τοι ἀντέστησαν, ἀπήλλαξαν οὕτω ὡς ἐκεί-
“ νοις ἔπρεπε. τῇ δὲ ἐγὼ δοκέω ἀποβήσεσθαι
“ τὰ τῶν ἀντιπολέμων πρήγματα, τοῦτο
“ φράσω. ἢν μὲν μὴ ἐπειχθῇς ναυμαχίην
“ ποιεύμενος, ἀλλὰ τὰς νῆας αὐτοῦ ἔχῃς
“ πρὸς γῇ μένων, ἢ καὶ προβαίνων ἐς τὴν
“ Πελοπόννησον, εὐπετέως τοι, δέσποτα, χω-
“ ρήσει τὰ νοέων ἐλήλυθας. οὐ γὰρ οἷοί τε
“ πολλὸν χρόνον εἰσὶ τοι ἀντέχειν οἱ Ἕλλη-
“ νες, ἀλλά σφεας διασκεδᾷς. κατὰ πόλις
“ δὲ ἕκαστοι φεύξονται· οὔτε γὰρ σῖτος πά-
“ ρα σφίσι ἐν τῇ νήσῳ ταύτῃ, ὡς ἐγὼ πυνθά-
“ νομαι, οὔτε αὐτοὺς οἰκὸς, ἢν σὺ ἐπὶ τὴν
“ Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατὸν,
“ ἀτρεμέειν τοὺς ἐκεῖθεν αὐτέων ἥκοντας· οὐ-
“ δέ σφι μελήσει πρὸ τῶν Ἀθηναίων ναυμα-

---

obsistit. Qui tibi obsistebant, ita summoti sunt ut eos decebat. Quo autem ego exituras hostium res arbitror, id exponam: Si non instabis pugnæ navali committendæ, sed classem perges hic continere ad terram, aut etiam tendere in Peloponnesum, tunc tibi, domine, succedent ea, quorum gratia venisti: neque enim diu tibi resistere Græci possunt, sed illos dissipabis, et ad suas quique urbes defugient; quoniam neque commeatus est eis in hac insula, ut ego audio, neque, si tu in Peloponnesum pedestres copias duces, hic eos credibile est perstituros qui illinc huc advenerunt, neque de pugna pro Atheniensibus facienda curaturos. At si pugnam na-

"χέειν. ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι,
"δειμαίνω μὴ ὁ ναυτικὸς στρατὸς κακωθεὶς,
"τὸν πεζὸν προσδηλήσηται. πρὸς δὲ, ὦ βασι-
"λεῦ, καί τόδε ἐς θυμὸν βαλεῦ, ὡς τοῖσι
"μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι
"φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοίσι, χρη-
"στοί. σοὶ δὲ, ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων,
"κακοὶ δοῦλοί εἰσι, οἳ ἐν συμμάχων λόγῳ
"λέγονται εἶναι, ἐόντες Αἰγύπτιοί τε καὶ
"Κύπριοι, καὶ Κίλικες, καὶ Πάμφυλοι,
"τῶν ὄφελός ἐστι οὐδέν."

ξθ'. Ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἔσαν εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο τοὺς λόγους, ὡς κακόν τι πεισομένης πρὸς βασιλῆος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι. οἱ δὲ ἀγαιόμενοί τε καὶ φθονέοντες

---

valem gerere approperabis, vereor ne copiæ nauticæ male re gestæ insuper pedestribus sint exitio. Præterea hoc etiam, rex, in animum demitte: usu venire, ut bonis quidem hominibus mali servi sint, malis autem boni. Ideoque tibi, qui virorum omnium es optimus, servi sunt mali, qui numero sociorum censentur, Ægyptii, Cyprii, Cilices, Pamphyli, e quibus nulla utilitas est.

69. Hæc ad Mardonium loquente Artemisia, quicunque ei bene volebant, noxiam illi rebantur suam orationem, tanquam aliquid mali passuræ ab rege, quem vetaret pugnam facere navalem: at ii qui male consultum illi volebant invidebantque, utpote cui inter pri-

αὐτῇ, ἅτε ἐν πρώτοισι τετιμημένης διὰ πάντων τῶν συμμάχων, ἐτέρποντο τῇ ἀνακρίσι, ὡς ἀπολεομένης αὐτῆς. ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξεα, κάρτα τε ἥσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης· καὶ νομίζων ἔτι πρότερον σπουδαίην εἶναι, τότε πολλῷ μᾶλλον αἴνεε. ὅμως δὲ τοῖσι πλέοσι πείθεσθαι ἐκέλευε, τάδε καταδόξας· πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν, ὡς οὐ παρεόντος αὐτοῦ, τότε δὲ αὐτὸς παρεσκεύαστο θεήσασθαι ναυμαχέοντας.

ο'. Ἐπειδὴ δὲ παρήγγελλον ἀναπλώειν, ἀνῆγον τὰς νῆας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν διαταχθέντες κατ' ἡσυχίην. τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη ναυμαχίην ποιέεσθαι· νὺξ γὰρ ἐπεγένετο. οἱ

---

mos sociorum omnium honos haberetur, gaudebant ejus sententia, tanquam periturae. Sed Xerxes, postquam ad eum sunt relatae sententiae, magnopere delectatus est Artemisiae sententia; et quum jam antea seriam esse sensisset, tunc multo impensius laudavit. Nihilominus ut pluribus staretur jussit, ratus ad Euboeam suos sponte, male pugnasse, quod videlicet ipse abfuisset: itaque constituit spectaculo pugnae navalis interesse.

70. Classiarii, ubi nunciatum est illinc esse solvendum, classem Salaminem versus ducunt et per otium in aciem sunt digesti. Sed quum eos dies defecisset, quominus praelium committerent, nox enim super-

δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην. τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀῤῥωδίη, οὐκ ἥκιστα δὲ τοὺς ἀπὸ Πελοποννήσου. ἀῤῥώδεον δὲ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι, ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν· νικηθέντες τε, ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες τὴν ἑωϋτῶν ἀφύλακτον.

οα′, Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καίτοι τὰ δυνατὰ πάντα ἐμεμηχάνητο, ὅκως κατ' ἤπειρον μὴ ἐσβάλλοιεν οἱ βάρβαροι. ὡς γὰρ ἐπύθοντο τάχιστα Πελοποννήσιοι τοὺς ἀμφὶ Λεωνίδεα ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες ἐκ τῶν πολίων, ἐς τὸν Ἰσθμὸν ἵζοντο· καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω

---

venit, in posterum diem sese instruebant: quum interim Græcos metus formidoque cepit, cum alios, tum vero non minime Peloponnenses, quod ipsi desidentes in Salamine, pro Atheniensium terra essent certaturi: qui si superarentur, in insula deprehensi forent obsidendi, sua terra sine præsidio relicta.

71. Per eandem noctem pedester exercitus barbarorum contendebat in Peloponnesum: quanquam cuncta, quæ poterant, excogitata erant, ne barbari per continentem ingrederentur. Nam ubi Leonidem cum suis apud Thermopylas occubuisse accepere Peloponnenses, celerrime ex urbibus concursu facto, Isthmum insede-

δὲ ἀδελφεός. ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ, καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδὸν, μετὰ τοῦτο ὥς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. ἅτε δὴ ἐουσέων μυριαδέων πολλέων, καὶ παντὸς ἀνδρὸς ἐργαζομένου, ἤνετο τὸ ἔργον· καὶ γὰρ λίθοι, καὶ πλίνθοι, καὶ ξύλα, καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον οὐδένα χρόνον οἱ βοηθήσαντες ἐργαζόμενοι, οὔτε νυκτὸς, οὔτε ἡμέρης.

οβ'. Οἱ δὲ βωθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ, οἵδε ἔσαν Ἑλλήνων· Λακεδαιμόνιοί τε, καὶ Ἀρκάδες πάντες, καὶ Ἠλεῖοι, καὶ Κορίνθιοι, καὶ Σικυώνιοι, καὶ Ἐπιδαύριοι, καὶ Φλιάσιοι, καὶ Τροιζήνιοι, καὶ Ἑρμιονέες. οὗτοι μὲν ἔσαν οἱ βοηθήσαντες,

---

runt, duce Cleombroto Anaxandridæ filio, Leonidæ fratre. Ibi considentes, primum viam Scironidem obstruxerunt; deinde consilio inito Isthmum muro inædificabant, opusque perficiebant, quippe nemine, quum tot millia virorum essent, cessante: nam et lapides et lateres et ligna, et sportas sabulo plenas afferebant, nullo temporis momento opus intermittentes, neque diurno neque nocturno.

72. Hi autem e Græcis fuerunt qui ad Isthmum auxilio cum omni copia venerunt: Lacedæmonii, et Arcades omnes, et Elei, et Corinthii, et Sicyonii, et Epidaurii, et Phliasii, et Trœzenii, et Hermionenses. Hi fuerunt qui quidem auxilio venerunt, metuentes periclitan-

καὶ ὑπεραῤῥωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ. τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη.

ογ΄. Οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα ἑπτά. τουτέων δὲ τὰ μὲν δύο, αὐτόχθονα ἐόντα, κατὰ χώρην ἵδρυται· νῦν τε καὶ τοπάλαι οἴκεον, Ἀρκάδες τὲ, καὶ Κυνούριοι. ἓν δὲ ἔθνος τὸ Ἀχαϊκὸν, ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωϋτῶν· οἰκέει δὲ τὴν ἀλλοτρίην. τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα, ἐπήλυδά ἐστι, Δωριέες τε καὶ Αἰτωλοὶ, καὶ Δρύοπες, καὶ Λήμνιοι. Δωριέων μὲν, πολλαί τε καὶ δόκιμοι πόλις· Αἰτωλῶν δὲ, Ἦλις μούνη· Δρυόπων δὲ, Ἑρμιόνη τε, καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ

---

ti Græciæ. Ceteris enim Peloponnensibus id nihil admodum curæ erat, et Olympia jam et Carnia præterierant.

73. Incolunt autem Peloponnesum gentes septem, quarum duæ indigenæ eundem, quem habitarunt olim locum, nunc habitant, Arcades et Cynurii: una, Achaica, quæ nunquam illa quidem e Peloponneso excessit, sed pristino loco egressa, alienum incolit: reliquæ e septem sunt quatuor adventitiæ, Dorienses, Ætoli, Dryopes, Lemnii. Ac Doriensium quidem multæ sunt et insignes civitates: Ætolorum sola Elis: Dryopum autem Hermione et Asina, quæ ad Cardamylam

Λακωνικῇ· Λημνίων δὲ, Παρωρεῆται πάντες. οἱ δὲ Κυνούριοι αὐτόχθονες ἐόντες, δοκέουσι μοῦνοι εἶναι Ἴωνες. ἐκδεδωρίευνται δὲ, ὑπό τε Ἀργείων ἀρχόμενοι καὶ τοῦ χρόνου, ἐόντες Ὀρνεῆται καὶ περίοικοι. τουτέων ὦν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ πόλις πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου ἑκατέατο· εἰ δὲ ἐλευθέρως ἔξεστι εἶπαι, ἐκ τοῦ μέσου κατήμενοι, ἐμήδιζον.

οδ΄. Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ, τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη δρόμου θεόντες, καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι. οἱ δὲ ἐν Σαλαμῖνι, ὅμως ταῦτα πυνθανόμενοι, ἀῤῥώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες, ὡς περὶ τῇ Πελοποννήσῳ. ἕως μὲν δὴ αὐτέων ἀνὴρ ἀνδρὶ πα-

---

Laconicam sita est: Lemniorum autem, omnes Paroreatæ. Cynurii autem, quum sint indigenæ, soli putantur Iones esse, sed effecti sunt Dores, sub imperio Argivorum siti, et progressu temporis, quum essent Orneatæ, itemque accolæ. Harum igitur septem gentium ceteræ præter eas quas recensui, e medio cesserunt; et, si ingenue loqui fas est, e medio sedentes cum Medis sentiebant.

74. Apud Isthmum quidem in tali labore isti occupati erant, utpote pro omni jam cursu currentes, et nequaquam opinantes navibus se illustres futuros. Quæ audientes illi qui in Salamine erant, formidine afficiebantur, non tam pro seipsis quam pro Peloponneso solli-

ρασ τὰς σιγῇ λόγον ἐποιέετο, θῶϋμα ποιεύμενοι τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ, ἐξεῤῥάγη ἐς τὸ μέσον, σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτέων. οἱ μὲν, ὡς ἐς τὴν Πελοπόννησον χρεὼν εἴη ἀποπλώειν, καὶ περὶ ἐκείνης κινδυνεύειν, μηδὲ πρὸ χώρης δορυαλώτου μένοντας μάχεσθαι· Ἀθηναῖοι δὲ, καὶ Αἰγινῆται, καὶ Μεγαρέες, αὐτοῦ μένοντας ἀμύνασθαι.

οε΄. Ἐνθαῦτα Θεμιστοκλέης, ὡς ἑσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου. ἐξελθὼν δὲ, πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ, ἐντειλάμενος τὰ λέγειν χρεών· τῷ οὔνομα μὲν ἦν Σίκιννος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλῆος παίδων. τὸν δὴ ὕστερον

---

citi; et adhuc quidem in eis vir viro adstans clanculum loquens admirabatur in Eurybiade consilii inopiam: tandem vero erupit in medium, conciliumque contractum est, et multa de hoc ipso dicebantur; ab his quidem, oportere in Peloponnesum navigare, et pro illa adire periculum, non autem manentes, pro captiva regione pugna decernere: ab Atheniensibus vero et Æginetis et Megarensibus, satius esse illic manentes dimicare.

75. Ibi Themistocles, postquam sententia Peloponnensium evictus fuit, clanculum e concilio egressus, misit ad classem Medorum navigium, cum quodam edocto quæ dicere oporteret; cui nomen erat Si-

1

τουτέων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, καὶ χρήμασι ὄλβιον. ὃς τότε πλοίῳ ἀπικόμενος, ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν βαρβάρων τάδε, "Ἔπεμψέ με στρατη-" "γὸς ὁ Ἀθηναίων λάθρη τῶν ἄλλων Ἑλλή-" "νων, τυγχάνει γὰρ φρονέων τὰ βασιλῆος," "καὶ βουλόμενος μᾶλλον τὰ ὑμέτερα κατύ-" "περθε γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων πρήγ-" "ματα, φράσοντα ὅτι οἱ Ἕλληνες δρησμὸν" "βουλεύονται καταῤῥωδηκότες. καὶ νῦν πα-" "ρέχει κάλλιστον ὑμέας ἔργον ἁπάντων" "ἐξεργάσασθαι, ἢν μὴ περιίδητε διαδράντας" "αὐτούς. οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέουσι," "οὔτε ἀντιστήσονται ὑμῖν· πρὸς ἑωϋτούς τε" "σφέας ὄψεσθε ναυμαχέοντας τοὺς τὰ ὑμέ-

cinno, domestico suo, atque eodem pædagogo liberorum suorum: quem post has res gestas ipse Thespiensem fecit, quando Thespienses in civitatem recipiebant, atque locupletem. Is tunc navigio ad duces barbarorum profectus, hæc inquit; Dux Atheniensium, quod partibus regis favet, præoptatque res vestras quam Græcorum esse superiores, misit me clam aliis Græcis indicatum vobis, illos metu perculsos fugam facere velle, et nunc offerri vobis occasionem exequendi rem omnium præclarissimam, nisi per negligentiam eos dilabi sinatis: nam neque inter se consentiunt, neque vobis amplius obsistent: sed inter se dimicantes cernetis eos,

"τερα φρονέοντας, καὶ τοὺς μή." ὁ μὲν, ταῦτά σφι σημήνας, ἐκποδὼν ἀπαλλάσσετο.

ος. Τοῖσι δὲ ὡς πιστὰ ἐγένετο τὰ ἀγγελθέντα, τοῦτο μὲν, ἐς τὴν νησίδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβιβάσαν· τοῦτο δὲ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κατέχον τε μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. τῶνδε δὲ εἵνεκα ἀνῆγον τὰς νῆας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγέειν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι, δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων. ἐς δὲ τὴν νησίδα τὴν Ψυττάλειαν

---

qui vobiscum, et eos, qui contra vos sentiunt. Hac re Sicinnus indicata, ab illis abscessit.

76. Cui fidem habentes barbari, tum in insulam parvam nomine Psyttaleam, quæ inter Salaminem et continentem sita est, multos Persarum trajiciunt, tum mediam circa noctem cornu quod ad occasum spectabat producunt Salaminem versus, eam circumituri: producunt autem qui circa Ceon et Cynosyram instructi erant, occupantes navibus omne fretum Munychia tenus. Ideo autem et naves producebant, ne qua Græcis liceret effugere: sed circumventi in Salamine pœnam redderent prœliorum ad Artemisium gestorum. Ad insulam autem Psyttaleam trajiciebant Persas ob hanc causam,

καλεομένην ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκα, ὡς ἐπεὰν γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων, ἐν γὰρ δὴ πόρῳ ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἔκειτο ἡ νῆσος, ἵνα τοὺς μὲν περιποιῶσι, τοὺς δὲ διαφθείρωσι. ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι. οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς, οὐδὲν ἀποκοιμηθέντες, παραρτέοντο.

οζ'. Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας,

Ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν
Νηυσὶ γεφυρώσωσι, καὶ εἰναλίην Κυνόσουραν,
Ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,

---

tanquam commisso navali certamine, illuc præcipue ejiciendis et viris et naufragiis, erat enim insula in trajectu, ubi futura erat pugna, sita, hos quidem ut servarent, alios vero interimerent. Hoc autem ne hostes sentirent, clanculum egere. Atque ita illi nulla noctis parte concessa somno parabantur.

77. In has ego res intuens, non habeo adversari oraculis tanquam non veris, nolens evidenter loquentia conari refellere:

Auricomæ densis ubi litora sacra Dianæ
Navibus insternent et litoream Cynosuram,
Spe stolida fortes quod Athenas dilacerarunt,

Δῖα δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱὸν,
Δεινὸν μαιμώοντα, δοκεῦντ' ἀνὰ πάντα πυθέσθαι.
Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
Πόντον φοινίξει. τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ
Εὐρύοπα Κρονίδης ἐπάγει, καὶ πότνια Νίκη.

ἐς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι, οὔτε αὐτὸς λέγειν τολμέω, οὔτε παρ' ἄλλων ἐνδέκομαι.

οη'. Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων πολλός. ἤδεσαν δὲ οὔκω, ὅτι σφέας περιεκυκλέοντο τῇσι νηυσὶ οἱ βάρβαροι· ἀλλ' ὥσπερ τῆς ἡμέρης ὥρων αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι.

οθ'. Συνεστηκότων δὲ τῶν στρατηγῶν, ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου,

---

Compescet juvenem meritissima pœna superbum,
Instinctum furiis, sibi cedere cuncta putantem.
Nam miscebitur æs æri, Mars sanguine pontum
Inficiet: Graiis tunc libera tempora reddet
Saturno genitus, simul et Victoria pollens.

Quum ita evidenter in his a Bacide dicatur, profecto de contradicendo oraculis neque ipse ausim dicere, neque ab aliis dici sustineam.

78. Porro inter duces, qui in Salamine erant, ingens conflata est rixa, nondum scientes a barbarorum navibus se circumveniri; sed sicut per diem viderant eos collocatos, ita existimabant eos illo ordine manere.

79. Quibus consistentibus, applicuit ex Ægina Aristides

ἀνὴρ Ἀθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου· τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. οὗτος ὢνὴρ στὰς ἐπὶ τὸ συνέδριον, ἐξεκαλέετο Θεμιστοκλῆα, ἐόντα μὲν ἑωϋτῷ οὐ φίλον, ἐχθρὸν δὲ ταμάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν, λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ συμμίξαι. προακηκόεε δὲ ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νῆας πρὸς τὸν Ἰσθμόν. ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε· "Ἡμέας στασιά-" ζειν χρεών ἐστι ἔν τε τῷ ἄλλῳ καιρῷ, καὶ " δὴ καὶ ἐν τῷδε, περὶ τοῦ ὁκότερος ἡμέων " πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. λέ-" γω δέ τοι ὅτι ἶσόν ἐστι πολλά τε καὶ ὀλί-

---

Lysimachi filius, Atheniensis quidem, sed testa in exilium a populo ejectus, quem ego, ut ejus mores accepi, virum optimum fuisse Athenis atque justissimum censui. Hic vir concilio assistens, Themistoclem evocavit, non amicum sibi, sed in primis inimicum: verum præ magnitudine præsentium malorum oblitus simultatum, evocavit hominem colloquendi gratia: præsenserat enim Peloponnenses maturare ad Isthmum classem reducere. Qui, quum prodiisset Themistocles ad eum, inquit, Nos et alio tempore et hoc ipso contendere debemus inter nos hac de re, uter nostrum de patria præclarius mereatur: te vero certiorem facio, peræque esse Pelo-

"γα λέγειν περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. ἐγὼ γὰρ αὐτόπτης τοι λέγω γενόμενος, ὅτι νῦν, οὐδ' ἢν θέλωσι, Κορίνθοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πολεμίων κύκλῳ· ἀλλ' ἐσελθών σφι ταῦτα σήμηνον."

π'. Ὁ δ' ἀμείβετο τοῖσδε, "Κάρτα τε χρηστὰ διακελεύεαι, καὶ εὖ ἤγγειλας. τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος, ἥκεις. ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων. ἔδεε γὰρ ὅτε οὐκ ἑκόντες ἔθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι. σὺ δὲ, ἐπείπερ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον. ἢν γὰρ ἐγὼ αὐτὰ

---

ponnensibus multa verba facere ac pauca de abducendis hinc navibus. Ego enim tibi quod ipsemet vidi, refero: nunc, ne si velint quidem, Corinthios atque ipsum Eurybiadem enavigare posse, quoniam circumdati ab hostibus undique sumus: quare ingressus eis hæc indicato.

80. Cui respondens Themistocles, Utilia valde, inquit, jubes, ac bene annunciasti. Nam quæ ego precabar, ut fierent, ea ipse tu conspicatus fieri venis: ut enim scias, quæ fiunt a Medis, per me fiunt: quoniam opus facto fuit, ut Græci, qui nolebant sua sponte ad pugnam descendere, descenderent inviti. Tu vero, quandoquidem utilia nunciatum venis, ipse illis nun-

" λέγω, δόξω πλάσας λέγειν, καὶ οὐ πείσω,
" ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα. ἀλ-
" λά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔχει.
" ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦ-
" τα δὴ τὰ κάλλιστα· ἢν δὲ αὐτοῖσι μὴ
" πιστὰ γένηται, ὅμοιον ἡμῖν ἔσται. οὐ γὰρ
" ἔτι διαδρήσονται, εἴπερ περιεχόμεθα παν-
" ταχόθεν, ὡς σὺ λέγεις."

πα΄. Ταῦτα ἔλεγε παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε ἥκειν, καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας· περιέχεσθαι γὰρ πᾶν το στρατόπεδον τὸ Ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνεβούλευε, ὡς ἀλεξησομένους. καὶ ὁ μέν, ταῦτα εἴπας, μετεστήκεε· τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφισβασίη· οἱ πλεῦνες γὰρ

---

ciato. Quoniam si ego retulero, videbor rem commenticiam dicere, nec persuadebo, tanquam non hoc agentibus barbaris. Itaque tute ingressus, uti res habet ipse illis referas. Quod ubi feceris, si tibi fidem habebunt, optime habet; sin minus, perinde nobis erit: neque enim si undique circumdati sumus, ut tu ais, amplius isti defugient.

81. Aristides concilium ingressus, eadem retulit, dicens se ex Ægina venisse, et ægre elapsum, latendo stationem hostium. Omnem enim classem Græcorum, a Xerxis classe circumventam; ideoque hortari se, ut ad defensionem sui illi sese præpararent. Hæc loquutus Aristides, retro abiit. Rursus autem inter duces altercatio orta, plerisque eo-

τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα.

πβ΄. Ἀπιστεόντων δὲ τουτέων, ἧκε τριήρης ἀνδρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀληθηΐην πᾶσαν. διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράφησαν Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα, ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι. σὺν δὲ ὦν ταύτῃ τῇ νηῒ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα, καὶ τῇ πρότερον ἐπ' Ἀρτεμίσιον τῇ Λημνίῃ, ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νῆας· δύο γὰρ δὴ νηῶν τότε κατέδεε ἐς τὸν ἀριθμόν.

πγ΄. Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. ἠώς τε δὴ διέφαινε,

---

rum fidem nuncio non habentibus.

82. Quibus non credentibus advenit triremis transfuga virorum Teniorum, cui præerat Panætius Sosimenis filius, quæ omnem veritatem attulit. Cujus facti nomine Tenii in tripode, qui Delphis dedicatus est, inter eos qui barbarum debellarunt, scripti fuere. Ex hac autem navi, quæ ad Salaminem, et altera, quæ ad Artemisium transfugit, Lemnia, expleta est Græcorum classis trecentarum et octoginta navium: duæ namque prius ad explendum numerum defuerant naves.

83. Græci, ubi eis verba Teniorum fecerunt fidem, sese apparaverunt tanquam dimicaturi. Et sub diluculum, quum

καὶ οἱ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης, τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἥσσοσι ἀντιτιθέμενα. ὅσα δὲ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται, παραινέσας δὴ τουτέων τὰ κρέσσω αἱρέεσθαι, καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νῆας. καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἧκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἣ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. ἐνθαῦτα ἀνῆγον τὰς νῆας ἁπάσας οἱ Ἕλληνες.

πδ'. Ἀναγομένοισι δέ σφι, αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. οἱ μὲν δὴ ἄλλοι Ἕλληνες ἐπὶ πρύμνην ἀνεκρούοντο, καὶ ὤκελλον τὰς νῆας· Ἀμεινίης δὲ Παλληνεὺς, ἀνὴρ Ἀθηναῖος, ἐξαναχθεὶς, νηῒ ἐμβάλλει. συμπλα-

---

propugnatorum cœtum fecissent, Themistocles ex omnibus quæ expedirent præcipiebat: cujus orationis summa erat, meliorum cum pejoribus comparatio, quæcunque in hominis natura atque industria existunt, exhortatus ut meliora eligerent. Ubi peroravit, jussit illos ingredi naves: quibus ingressis, rediit ab Ægina triremis quæ profecta ad Æacidas erat, moxque omnes naves Græci solverunt.

84. In quos moventes continuo barbari sunt invecti. Ibi ceteri quidem Græci quum inhiberent remis, cessimque irent, Aminias Pallenensis, vir Atheniensis, evectus navi in hostilem incurrit: cui implicitus quum hæreret, nec abstrahi

κείσης δὲ τῆς νηὸς, καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βοηθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι τῆς ναυμαχίης τὴν ἀρχήν· Αἰγινῆται δὲ, τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη· φανεῖσαν δὲ διακελεύσασθαι, ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ στρατόπεδον τῶν Ἑλλήνων, ὀνειδίσασαν πρότερον τάδε, "Ὦ "δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνα"κρούεσθε;"

πε'. Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες· οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας· κατὰ δὲ Λακεδαιμονίους, Ἴωνες· οὗτοι δ' εἶχον τὸ πρὸς τὴν ἠῶ

---

posset, ita ceteri venientes auxilio conserti sunt. Hunc in modum aiunt Athenienses extitisse initium pugnæ: Æginetæ vero, navem quæ ad Æacidas abierat fecisse initium. Quanquam etiam hoc refertur, simulacrum mulieris fuisse eis oblatum: et quum apparuisset, ita illos exhortatum, ut omnis Græcorum exercitus exaudierit: sed prius his verbis convitiatum, O imperiti, quousque remis inhibebitis?

85. Ceterum adversus Athenienses instructi erant Phœnices: nam hi cornu tenebant, quod ad Eleusinem occidentemque vergebat. Adversus Lacedæmonios instructi erant Iones: hi autem cornu tenebant, quod ad auroram spectabat et Piræ-

τε καὶ τὸν Πειραιέα. ἐθελοκάκεον μέντοι αὐτέων, κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς, ὀλίγοι, οἱ δὲ πλεῦνες, οὔ. ἔχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι, τῶν νῆας Ἑλληνίδας ἑλόντων· χρήσομαι δὲ αὐτοῖσι οὐδὲν, πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος, καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων. τοῦδε εἵνεκα μέμνημαι τουτέων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε, καταστησάντων τῶν Περσέων· Φύλακος δὲ, εὐεργέτης βασιλῆος ἀνεγράφη, καὶ χώρη οἱ ἐδωρήθη πολλή. οἱ δ' εὐεργέται τοῦ βασιλῆος, Ὀροσάγγαι καλέονται Περσιστί. περὶ μέν νυν τούτους οὕτω εἶχε.

πϛ'. Τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλα-

---

um: quorum pauci admonitu Themistoclis de industria ignave agebant, plerique minime. Enimvero complurium trierarchorum nomina commemorare possem, qui Græcas naves expugnavere: sed neminem nominabo præter Theomestorem Androdamantis filium, et Phylacon Histiæi filium, ambos Samios: quorum duntaxat ideo mentionem facio, quod Theomestor ob hanc navatam operam a Persis tyrannus Sami sit creatus: Phylacus inter bene de rege meritos adscriptus sit, et multo tractu soli donatus. Bene meriti autem de rege, Persica lingua Orosangæ vocantur. De his quidem ita res habet.

86. Multitudo autem navi-

μῖνι ἐκεραΐζετο, αἱ μὲν, ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ, ὑπὸ Αἰγινητέων. ἅτε γὰρ τῶν μὲν Ἑλλήνων σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι, οὔτε σὺν νόῳ ποιεόντων οὐδὲν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι οἷόνπερ ἀπέβη. καίτοι ἔσαν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μακρῷ ἀμείνονες αὐτοὶ ἑωϋτῶν, ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξην· ἐδόκεέ τε ἕκαστος ἑωϋτὸν θεήσεσθαι βασιλῆα.

πζ'. Κατὰ μὲν δὴ τοὺς ἄλλους, οὐκ ἔχω μετεξετέρους εἶπαι ἀτρεκέως, ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλῆϊ. ἐπειδὴ γὰρ

---

um ad Salaminem lacerabatur, partim ab Atheniensibus corrupta, partim ab Æginetis, utpote Græcis servato ordine ac loco certantibus, barbaris et incomposite et inconsulte agentibus: ut non eventurum illis esset aliud quam evenit: quanquam eo die fuerunt atque extiterunt longe se ipsis præstantiores, quam ad Eubœam extiterant, pro se quisque adnitentes, ac Xerxem reformidantes, et quod ab rege se singuli conspectum iri arbitrabantur.

87. Et de aliis quidem vel barbarorum vel Græcorum singulatim, quomodo dimicaverint, non possum pro comperto referre. Circa Artemisiam vero hoc rei gestum, ex quo impensius illa regi commendata

ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλῆος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νηὸς Ἀττικῆς· καὶ ἣ οὐκ ἔχουσα διαφυγέειν, ἔμπροσθεν γὰρ αὐτῆς ἔσαν ἄλλαι νῆες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα, ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ. διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς, φέρουσα ἐνέβαλε νηῒ φιλίῃ, ἀνδρῶν τε Καλυνδέων, καὶ αὐτοῦ ἐπιπλέοντος τοῦ Καλυνδέων βασιλῆος Δαμασιθύμου. εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέντοι ἔγωγε ἔχω εἶπαι, οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρη-

---

est: Posteaquam regiæ res magno tumultu misceri cœperunt, hoc interim tempore Artemisia, quum navem suam navis Attica insequeretur, nullum habens effugium, quia ante ipsam aliæ naves amicæ, sua vero proxima hostibus erat, hoc sibi putavit faciendum, quod et fecisse profuit: nam ut fugiebat Atticam navem, in navem sociam, quæ erat virorum Calyndensium, impegit, quaque rex ipse Calyndensium Damasithymus vehebatur. Cum quo etsi huic jam inde quum essent in Hellesponto, contentio intercesserat, tamen incertum utrum consulto id fecerit, an fortuito navis Calyndensium præternavigans oblata fuerit. Eam Artemisia ubi incurrit pariter ac demersit, prospero casu usa et duplex hinc sibi bo-

σαμένη, διπλᾶ ἑωϋτὴν ἀγαθὰ ἐργάσατο. ὅ, τε γὰρ τῆς Ἀττικῆς νηὸς τριήραρχος, ὡς εἶδέ μιν ἐμβάλλουσαν νηΐ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νῆα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι, ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων, καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας, πρὸς ἄλλας ἐτράπετο.

πη΄. Τοῦτο μὲν, τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι διαφυγέειν τε καὶ μὴ ἀπολέσθαι· τοῦτο δὲ συνέβη ὥστε κακὸν ἐργασαμένην, ἀπὸ τουτέων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. λέγεται γὰρ, βασιλῆα θηεύμενον, μαθεῖν τὴν νῆα ἐμβαλοῦσαν, καὶ δή τινα εἶπαι τῶν παρεόντων, "Δέσποτα, ὁρᾷς "Ἀρτεμισίην ὡς εὖ ἀγωνίζεται, καὶ νῆα "τῶν πολεμίων κατέδυσε;" καὶ τὸν ἐπείρεσ-

---

num est adepta: nam trierarchus Atticæ navis, eam conspicatus incurrisse in barbarorum virorum navem, existimans hanc Artemisiæ navem aut Græcam esse, aut e barbaris profugere, et a Græcis pugnare, ab hac ad alias se convertit.

88. Ita ex hoc facto contigit Artemisiæ tum ut exitium evitaret, nec interiret; tum ut e malo opere præcipue se probatam apud Xerxem redderet: siquidem fertur, quum rex spectans animadvertisset hanc navem alteri incurrisse, quendam eorum qui aderant dixisse, Cernis Artemisiam, domine, ut bene prœliatur, utque navem hostilem depressit? Et regem interrogasse nunquid vere id opus Artemisiæ esset: et illos,

θαι εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον· καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νηὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ἠπιστέατο εἶναι πολεμίην. τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νηὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. Ξέρξην δὲ εἶπαι λέγεται πρὸς τὰ φραζόμενα, "Οἱ "μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες· αἱ "δὲ γυναῖκες, ἄνδρες." ταῦτα μὲν Ξέρξην φασὶ εἶπαι.

πθ'. Ἐν δὲ τῷ πόνῳ τούτῳ, ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεός· ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ ὀνομαστοὶ Περσέων καὶ Μήδων, καὶ τῶν ἄλλων συμμάχων· ὀλίγοι δέ τινες καὶ Ἑλλήνων. ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νῆες

---

utpote qui plane nossent insigne navis, ita rem habere adfirmasse, ratos eam navem quæ corrupta esset, hostilem fuisse: nam præter cetera quæ mulieri, ut dictum esr, prospere cesserunt, hoc quoque accessit, quod e navi Calyndensi nemo servatus est, qui existeret accusator. Unde Xerxem ferunt ad ea quæ narrabantur dixisse, Viri quidem extiterunt mihi feminæ, feminæ autem, viri. Hæc aiunt dixisse Xerxem.

89. In eo prœlio cum alii multi et illustres viri tam Persarum Medorumque quam aliorum sociorum occubuere, tum vero dux Ariabignes Darii filius Xerxisque frater: e Græcis

διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. τῶν δὲ βαρβάρων οἱ πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο. οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρώμενοι, ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

ϟ'. Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. τῶν τινες Φοινίκων, τῶν αἱ νῆες διεφθαρέατο, ἐλθόντες παρὰ βασιλῆα, διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νῆες, ὡς προδόντων. συνήνεικε ὦν οὕτω, ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι,

---

pauci: quippe qui gnari natandi, ubi suæ naves corruptæ erant, nec in pugna peribant, ad Salaminem enatabant: cujus rei quia imperiti erant barbarorum plerique, in mari periere. Posteaquam autem primæ naves in fugam versæ sunt, tum vero plurimæ corrumpebantur: nam qui in posterioribus locati erant, in anteriora progredi navibus conantes, ut et ipsi aliquod opus regi exhiberent, undique in suorum naves fugientes incidebant.

90. Quo in tumultu etiam hoc actum est, ut quidam Phœnices, quorum naves corruptæ fuerant, regem adeuntes, insimulaverint Iones tanquam proditores, quod propter eos naves amissæ essent: unde id contigit, non ut Ionum duces interficerentur, sed ut ii Phœnices

Φοινίκων τε τοὺς διαβάλλοντας, λαβεῖν τοιόνδε μισθόν. ἔτι τουτέων ταῦτα λεγόντων, ἐνέβαλε νηῒ Ἀττικῇ Σαμοθρηϊκίη νηῦς. ἥ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηΐκων τὴν νῆα. ἅτε δὴ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήϊκες, τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νηὸς βάλλοντες ἀπήραξαν, καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν· ταῦτα γενόμενα τοὺς Ἴωνας ἐῤῥύσατο. ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας, οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιώμενος· καὶ σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμεῖν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι, τοὺς ἀμείνονας διαβάλλωσι. ὅκως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωϋτοῦ ἔργον τι ἀποδεικνύ-

---

qui illos insimulabant, talem acciperent mercedem. Etenim illis adhuc ea loquentibus, Samothracia navis impacta Atticæ, eam demersit: et in hanc Æginæa impulsa ipsam depressit. Verum Samothraces, ut qui jaculatores essent, propugnatores navis, quæ suam depresserat, jaculorum ictibus excusserunt, eorumque conscensa navi potiti sunt: quod factum Iones liberavit. Nam Xerxes ubi egregium facinus Ionum aspexit, conversus ad Phœnices, ut erat supra modum mœstus, et omnes arguens, jussit eorum capita præcidi, ne, quum ipsi imbelles essent, meliores criminarentur. Quoties enim suorum quempiam aliquod opus edentem in hoc navali prœlio

μενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖνος τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα· καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν. πρὸς δὲ ἔτι καὶ προσεβάλετο φίλος ἐὼν Ἀριαράμνης ἀνὴρ Πέρσης παρεὼν τούτου τοῦ Φοινικηΐου πάθεος.

Ϟα΄. Οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο. τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων, καὶ ἐκπλεόντων πρὸς τὸ Φάληρον, Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷ, ἔργα ἀπεδέξαντο λόγου ἄξια. οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νηῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας· ὅκως δέ τινες τοὺς

---

cernebat, de eo homine percontabatur, sedens sub monte qui est e regione Salaminis, nomine Ægaleo, et scribæ trierarchum illum ab patre et vrbe annotabant. Quinetiam cladi Phœnicum qui aderant, additus est Ariaramnes vir Persa, quanquam amicus regis.

91. Et isti quidem in Phœnices se convertebant: barbaris autem in fugam versis, et ad Phalerum elabentibus, Æginetæ in freto subsistentes, opera memoratu digna ediderunt: nam Athenienses quidem in tumultu naves simul obsistentes fugientesque expugnabant, Æginetæ vero eas, quæ elabebantur: et quoties aliqua effugie-

Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας.

ϟβ΄. Ἐνθαῦτα συνεκύρεον νῆες ἥ τε Θεμιστοκλέος διώκουσα νῆα, καὶ ἡ Πολυκρίτου τοῦ Κριοῦ, ἀνδρὸς Αἰγινήτεω, νηῒ ἐμβαλοῦσα Σιδωνίῃ· ἥπερ εἷλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην, ἐπ᾽ ἧς ἔπλεε Πυθέης ὁ Ἰσχένου· τὸν οἱ Πέρσαι κατακοπέντα, ἀρετῆς εἵνεκα εἶχον ἐν τῇ νηῒ ἐκπαγλεόμενοι. τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι ἥλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. ὡς δὲ ἐσεῖδε τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω, τὸ σημήϊον ἰδὼν τῆς στρατηγίδος· καὶ βώσας τὸν Θεμιστοκλῆα, ἐπεκερτόμησε, ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. ταῦτα μέν νυν νηῒ

---

bat Athenienses, eo ipso cursu in Æginetas incidebat.

92. Quum interim naves duæ sibi obviam venirent, una Themistoclis insequens aliam, altera Polycriti Crio geniti, viri Æginetæ, dum navi Sidoniæ impingit, illi videlicet quæ speculatoriam Æginæam ad Sciathum ceperat, qua vehebatur Pytheas Ischeni filius: quem Persæ seminecem plagis, tamen admiratione virtutis servatum in navi habebant. Sidonia quæ hunc circumferebat navis, una cum Persis est intercepta, ut Pytheas ita sospes rediret in Æginam. Polycritus ubi inspexit Atticam navem, agnito signo navis imperatoriæ, inclamans Themistoclem, jocatus est, exprobrans Æginetis quod cum Medis sentirent. Hoc Polycritus in navem in-

ἐμβαλὼν ὁ Πολύκριτος ἀπέῤῥιψε ἐς Θεμιστοκλῆα.

ϟγ΄. Οἱ δὲ βάρβαροι, τῶν αἱ νῆες περιεγένοντο, φεύγοντες, ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν. ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται· ἐπὶ δὲ, Ἀθηναῖοι· ἀνδρῶν δὲ, Πολύκριτός τε ὁ Αἰγινήτης, καὶ Ἀθηναῖοι, Εὐμενής τε ὁ Ἀναγυράσιος, καὶ Ἀμεινίης Παλληνεύς· ὃς καὶ Ἀρτεμισίην ἐπεδίωξε. εἰ μέν νυν ἔμαθε ὅτι ἐν ταύτῃ πλώει ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν, ἢ καὶ αὐτὸς ἥλω. τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρακεκέλευστο· πρὸς δὲ, καὶ ἄεθλον ἔκειτο μύριαι δραχμαὶ, ὃς ἄν μιν ζωὴν ἕλῃ· δεινὸν γάρ τοι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας

---

currens, in Themistoclem jaculatus est.

93. Barbari autem quorum naves supererant, fuga se proripuerunt in Phalerum pedestres ad copias. In hac pugna navali e Græcis optime audierunt Æginetæ, secundo loco Athenienses: e viris, Polycritus Æginета; Athenienses que, Eumenes Anagyrasius, et Aminias Pallenensis, qui et Artemisiam est insequutus, non prius desiturus quam aut illam cepisset, aut ipse captus esset, si Artemisiam ea navi vehi animadvertisset: quippe trierarchis Atheniensium præceptum erat, ut eam caperent, propositumque præmium decem millium drachmarum ei, qui vivam cepisset. Indigne enim ferebant

στρατεύεσθαι. αὕτη μὲν δή, ὡς πρότερον εἴρηται, διέφυγε. ἦσαν δὲ καὶ οἱ ἄλλοι τῶν αἱ νῆες περιεγεγόνεσαν ἐν τῷ Φαλήρῳ.

ϟδ΄. Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθηναῖοι, αὐτίκα κατ᾽ ἀρχὰς ὡς συνέμισγον αἱ νῆες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον, οἴχεσθαι φεύγοντα. ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν, ὡσαύτως οἴχεσθαι. ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Ἀθηναίης Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ· τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτέ τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι. τῇδε δὲ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα· ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν

---

mulierem adversus Athenas militare. At illa, ut antea dictum est, aufugit. Fuerunt et alii, quorum naves incolumes in Phalerum evaserunt.

94. Adimantum autem Corinthium ducem Athenienses ferunt statim inter initia concursus navium expavefactum atque perterritum sublatis velis fugæ se dedisse: Corinthiosque, inspecta fuga navis imperatoriæ, itidem abiisse: et quum fugiendo venissent in ora Salaminia ad templum Minervæ Sciradis, occurrisse eis celocem divino missu: quam quisnam misisset non apparuisse, et nihil de copiarum statu scientibus Corinthiis appropinquavisse: eos ob id conjectasse rem divinam esse: ut enim illi

νηῶν. τοὺς ἀπὸ τοῦ κέλητος, λέγειν τάδε, "Ἀδείμαντε, σὺ μὲν ἀποστρέψας τὰς νέας, "ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ἕλ- "ληνας· οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον αὐτοὶ "ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν." ταῦτα λεγόντων, ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν· ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ἕλληνες. οὕτω δὴ ἀποστρέψαντα τὴν νῆα, αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατόπεδον. τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπὸ Ἀθηναίων. οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι. μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς.

---

qui in celoce erant, propiores fuerunt, ita loquutos fuisse, Adimante, tu quidem conversis in fugam navibus abscedere vis Græcorum proditor: at illi quantum votis conceperunt, victores hostium evadunt. Et quum his verbis fidem non haberet Adimantus, hæc iterum dixisse, ipsos posse pro obsidibus ductos mortem obire, nisi comperirentur Græci victores. Ita conversa navi Adimantum cum ceteris ad classem suorum, re jam ab aliis navata, venisse. Hic de illis apud Athenienses rumor extitit: quod ipsi Corinthii non fatentur, seque inter primos in pugna extitisse affirmant, quibus etiam testimonium dicit reliqua Græcia.

Ϥέ. Ἀριστείδης δὲ ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τουτέων ἐμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε· παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων, οἳ παρατετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησῖδι ταύτῃ κατεφόνευσαν πάντας.

Ϥϛ΄. Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἔσαν ἐς ἄλλην ναυμαχίην· ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλῆα. τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ὁ ἄνεμος ζέ-

95. Aristides autem Lysimachi filius, vir Atheniensis, cujus paulo ante ut viri optimi mentionem feci, per eum tumultum qui circa Salaminem fiebat, hoc rei gessit: Permultis armatorum, qui per litus Salaminis locati erant, genere Athenienses, sumptis et in Psyttaleam insulam ductis exscendit, qui omnes Persas qui in ea insula erant interemerunt

96. Defuncti navali pugn Græci deductis in Salaminem naufragiis, quæ illic etiamnum supererant, parati erant ad aliam navalem dimicationem, quod expectarent, regem iis, quæ sibi reliquæ erant, navibus adhuc usurum. Porro naufra-

φυρος, ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠϊόνα τὴν καλεομένην Κωλιάδα· ὥστε ἀποπλῆσαι τὸν χρησμὸν, τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τουτέων ἐν χρησμῷ, Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας,

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι.

τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλῆος ἔσεσθαι.

Ϟζ'. Ξέρξης δὲ ὡς ἔμαθε τὸ γεγονὸς πάθος, δείσας μή τις τῶν Ἰώνων ὑποθῆται τοῖσι Ἕλλησι ἢ αὐτοὶ νοήσωσι πλώειν ἐς τὸν Ἑλλήσποντον, λύσοντες τὰς γεφύρας, καὶ ἀπο-

---

giorum pleraque ventus zephyrus suscipiens portavit in oram Atticæ, nomine Coliadem; ut impletum sit tum aliud omne oraculum de hac pugna navali editum a Bacide et Musæo, tum vero id quod fuit de naufragiis illuc evectis ante hæc multis annis prædictum in oraculo Lysistrato Atheniensi, viro sortilego, quod omnes Græcos latuerat,

Coliades multo trepidabunt remige matres.

Hoc autem futurum erat avecto rege.

97. Cognita sua clade Xerxes, veritus nequis Ionum Græcis suggeret, aut sponte ipsi cogitarent navigare in Hellespon-

λαμφθεὶς ἐν τῇ Εὐρώπῃ ἀπολέσθαι κινδυνεύσῃ, δρησμὸν ἐβούλευε. θέλων δὲ μὴ ἐπίδηλος εἶναι μήτε τοῖσι Ἕλλησι μήτε τοῖσι ἑωϋτοῦ, ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν. γαυλούς τε Φοινικηΐους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος· ἀρτέετό τε ἐς πόλεμον, ὡς ναυμαχίην ἄλλην ποιησόμενος. ὁρέοντες δέ μιν πάντες οἱ ἄλλοι ταῦτα πρήσσοντα, εὖ ἠπιστέατο ὡς ἐκ παντὸς νόου παρεσκεύασται μένων πολεμήσειν· Μαρδόνιον δ' οὐδὲν τουτέων ἐλάνθανε, ὡς μάλιστα ἔμπειρον ἐόντα τῆς ἐκείνου διανοίης. ταῦτά τε ἅμα Ξέρξης ἐποίεε, καὶ ἔπεμπε ἐς Πέρσας ἀγγελέοντα τὴν παρεοῦσάν σφι συμφορήν.

Ϟη'. Τουτέων δὲ τῶν ἀγγέλων ἔστι οὐδὲν ὅ, τι θᾶσσον παραγίνεται θνητὸν ἐόν· οὕτω

---

tum ad solvendos pontes, unde ipse in Europa deprehensus salute periclitaretur, de fugiendo consultabat: nolens tamen neque a Græcis neque a suis detegi, aggerem in Salaminem tentabat educere; navesque Phœnicum onerarias, ut pro ponte ac muro essent, connectebat: et se, tanquam aliam pugnam navalem facturus, ad bellum instruebat. Quæ agentem videntes ceteri, pro certa habebant eum manendi animo atque bellandi illa apparare: sed nihil eorum Mardonium latebat, ut maxime gnarum ingenii illius. Xerxes et hæc faciebat, et in Persidem misit, qui præsentem cladem nunciaret.

98. His nunciis nihil est in rebus humanis, quod pernicius transcurrit, idque hunc in modum est a Persis excogitatum;

τοῖσι Πέρσῃσι ἐξεύρηται τοῦτο. λέγουσι γὰρ ὡς ὅσων ἂν ἡ ἡμερέων ἡ πᾶσα ὁδὸς, τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες διεστᾶσι κατὰ ἡμερησίην ὁδὸν ἑκάστην, ἵππος τε καὶ ἀνὴρ τεταγμένος· τοὺς οὔτε νιφετὸς, οὐκ ὄμβρος, οὐ καῦμα, οὐ νὺξ ἔργει μὴ οὐ κατανύσαι τὸν προκείμενον ἑωϋτῷ δρόμον τὴν ταχίστην. ὁ μὲν δὴ πρῶτος δραμὼν παραδιδοῖ τὰ ἐντεταλμένα τῷ δευτέρῳ, ὁ δὲ δεύτερος τῷ τρίτῳ· τὸ δὲ ἐνθεῦτεν ἤδη κατ' ἄλλον διεξέρχεται παραδιδόμενα, κατάπερ Ἕλλησι ἡ λαμπαδηφορίη, τὴν τῷ Ἡφαίστῳ ἐπιτελέουσι. τοῦτο τὸ δράμημα τῶν ἵππων καλέουσι Πέρσαι ἀγγαρήϊον.

θʹ. Ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη ἀπικομένη, ὡς ἔχοι Ἀθήνας Ξέρξης, ἔτερψε οὕτω δή τι Περσέων τοὺς ὑπολειφθέντας, ὡς

Quot dierum est tota via, totidem equos ac viros ferunt distare ad diei uniuscujusque iter, equi nempe et vir destinatus; quos neque vis nivium, neque imber, neque æstus, neque nox arcet, quin propositum sibi cursum celerrime conficiant. Quorum primus currendo mandata tradit secundo, secundus item tertio: et ita deinceps illa tradita in alium atque alium pertranseunt, quemadmodum apud Græcos lampadis gestatio, quam Vulcano peragunt. Hanc equorum cursitationem Persæ angareïon appellant.

99. Primus igitur nuncius Susa perveniens, Xerxem Athenis potitum esse, tanta Persas qui relicti erant voluptate affecit, ut omnes vias myrto

τάς τε ὁδοὺς μυρσίνῃσι πάσας ἐστόρεσαν, καὶ ἐθυμίων θυμιήματα, καὶ αὐτοὶ ἔσαν ἐν θυσίῃσί τε καὶ εὐπαθίῃσι· ἡ δὲ δευτέρη σφι ἀγγελίη ἐπεξελθοῦσα συνέχεε οὕτω, ὥστε τοὺς κιθῶνας κατεῤῥήξαντο πάντες, βοῇ τε καὶ οἰμωγῇ ἐχρέοντο ἀπλέτῳ, Μαρδόνιον ἐν αἰτίῃ τιθέντες. οὐκ οὕτω δὲ περὶ τῶν νηῶν ἀχθόμενοι ταῦτα οἱ Πέρσαι ἐποίευν, ὡς περὶ αὐτῷ Ξέρξῃ δειμαίνοντες. καὶ περὶ Πέρσας μὲν ἦν ταῦτα, τὸν πάντα μεταξὺ χρόνον γενόμενον, μέχρι οὗ Ξέρξης αὐτός σφεας ἀπικόμενος ἔπαυσε.

ρ'. Μαρδόνιος δὲ, ὁρέων μὲν Ξέρξην συμφορὴν μεγάλην ἐκ τῆς ναυμαχίης ποιεύμενον, ὑποπτεύων δὲ αὐτὸν δρησμὸν βουλεύειν ἐκ τῶν Ἀθηνέων, φροντίσας πρὸς ἑωϋτὸν ὡς

consternerent, et odores incenderent, et ipsi in sacrificiis ac gaudiis versarentur: secundus autem nuncius illis superveniens ita eos confudit, ut universi vestes dilaniarent, vociferationeque et ejulatu irrequieto uterentur, culpam in Mardonium refundentes. Non tamen adeo de navibus dolentes ista Persæ faciebant, quam de ipso Xerxe solliciti: eaque apud Persas duraverunt toto medio tempore, donec Xerxes ipse illos redeundo sedavit.

100. At Mardonius quum videret Xerxem magnam e pugna navali calamitatem sibi illatam ducere, suspicans agitare eum fugam ex Athenis, de se ipso curam agebat, tanquam pœnas daturus, qui regi persua-

δώσει δίκην, ἀναγνώσας βασιλῆα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, καὶ οἱ κρέσσον εἴη ἀνακινδυνεῦσαι, ἢ κατεργάσασθαι τὴν Ἑλλάδα, ἢ αὐτὸν καλῶς τελευτῆσαι τὸν βίον, ὑπὲρ μεγάλων αἰωρηθέντα. πλέον μέντοι ἔφερέ οἱ ἡ γνώμη κατεργάσασθαι τὴν Ἑλλάδα· λογισάμενος ὦν ταῦτα, προσέφερε τὸν λόγον τόνδε, " Δέσποτα, μήτε λυπέο, μήτε συμ-
" φορὴν μηδεμίην μεγάλην ποιεῦ, τοῦδε τοῦ
" γεγόνοτος εἵνεκα πρήγματος. οὐ γὰρ ξύ-
" λων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν, ἀλλ'
" ἀνδρῶν τε καὶ ἵππων. σοὶ δὲ οὔτε τις του-
" τέων τῶν τὸ πᾶν σφι ἤδη δοκεόντων κατερ-
" γάσασθαι, ἀποβὰς ἀπὸ τῶν νεῶν πειρή-
" σεται ἀντιωθῆναι, οὔτ' ἐκ τῆς ἠπείρου τῆσ-
" δε· οἵ τε ἡμῖν ἠντιώθησαν, ἔδοσαν δίκας.

---

sisset inferre Græciæ bellum: putabatque sibi conducibilius esse, iterum prælio periclitari aut subigere Græciam, aut magna opera aggressum laudabiliter vita defungi; tamen opinio ejus de subigenda Græcia prævalebat. Hæc quum secum agitasset, regem hac oratione est alloquutus, Domine, noli mœrorem capere, aut gravem ma-culam ex hac re sic gesta tibi illatam crede: non enim certamen, quo omnia nostra constant, in lignis est, sed in viris et equis. Itaque nemo tibi aut horum qui sibi videntur jam omne confecisse, egressus e navibus conabitur obviam se ferre, aut ex hac continente, et qui se nobis obvios tulere, pœnas dedere. Quod si tibi vide-

" εἰ μέν νυν δοκέει, αὐτίκα πειρώμεθα τῆς
" Πελοποννήσου· εἰ δὲ καὶ δοκέει ἐπισχεῖν,
" παρέχει ποιέειν ταῦτα. μὴ δὲ δυσθύμει.
" οὐ γάρ ἐστι Ἕλλησι οὐδεμίη ἔκδυσις, μὴ
" οὐ δόντας λόγον τῶν ἐποίησαν νῦν τε καὶ
" πρότερον, εἶναι σοὺς δούλους. μάλιστα
" μέν νυν ταῦτα ποίεε. εἰ δ᾽ ἄρα τοι βεβού-
" λευται, αὐτὸν ἀπελαύνοντα ἀπάγειν τὴν
" στρατιὴν, ἄλλην ἔχω καὶ ἐκ τῶνδε βουλήν.
" σὺ Πέρσας, βασιλεῦ, μὴ ποιήσῃς κατα-
" γελάστους γενέσθαι Ἕλλησι. οὐ μὲν γὰρ
" ἐν Πέρσῃσι τοί τι δεδήληται τῶν πρηγμά-
" των, οὐδ᾽ ἐρεῖς ὅκου ἐγενόμεθα ἄνδρες κα-
" κοί. εἰ δὲ Φοίνικές τε καὶ Αἰγύπτιοι, καὶ
" Κύπριοί τε καὶ Κίλικες, κακοὶ ἐγένοντο,
" οὐδὲν πρὸς Πέρσας τοῦτο προσήκει τὸ πά-

---

tur faciendum, Peloponnesum continuo tentemus: si videtur supersedendum, supersedeamus licet: nec animo consterneris: neque enim ulla possunt ratione subterfugere Græci, quo minus rationem dent eorum, quæ et nunc et antea perpetrarunt, tuique sint servi. Et hoc quidem præcipue tibi agendum puta. Quod si tibi constitutum est, ut ipse cum exercitu revertaris, aliud quoque habeo ex hoc proposito consilium. Ne committas, Rex, ut Persæ Græcis ludibrio fiant: non enim ab his Persis aliquid rerum est perditum; neque tu ubinam viri fuerimus ignavi dicere potes: quales si Phœnices et Ægyptii et Cyprii et Cilices fuere, nihil ista ad Persas attinet

" θος. ἤδη ὦν ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοί
" εἰσι, ἐμοὶ πείθεο· εἴ τοι δέδοκται μὴ πα-
" ραμένειν, σὺ μὲν ἐς ἤθεα τὰ σεωϋτοῦ ἀπέ-
" λαυνε, τῆς στρατιῆς ἀπάγων τὸ πολλόν·
" ἐμὲ δέ σοι χρὴ τὴν Ἑλλάδα παρασχεῖν
" δεδουλωμένην, τριήκοντα μυριάδας τοῦ
" στρατοῦ ἀπολεξάμενον."

ρα'. Ταῦτα ἀκούσας Ξέρξης, ὡς ἐκ κακῶν ἐχάρη τε καὶ ἥσθη· πρὸς Μαρδόνιόν τε βουλευσάμενος ἔφη ἀποκρινεῖσθαι, ὁκότερον ποιήσει τουτέων· ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην ἐς συμβουλίην μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο μούνη νοέουσα τὰ ποιητέα ἦν. ὡς δὲ ἀπίκετο ἡ Ἀρτεμισίη, μεταστησάμενος τοὺς ἄλλους τούς τε συμβούλους

---

culpa. Quare, quoniam Persæ hujus rei insontes sunt, jam mihi credito: si tibi non videbitur permanendum, remea ipse ad solum natale cum pleraque parte copiarum: ego vero cum delectis de exercitu trecentis millibus militum debeo Græciam in tuam redigere servitutem.

101. His auditis Xerxes, ut ex malis, gavisus est, voluptatemque cepit: et ad Mardonium inquit, se, ubi consilium cepisset, responsurum, utrum eorum esset facturus. Et quum deliberaret cum advocatis Persarum, placuit ei Artemisiam quoque ad consultandum arcessere: quam solam constabat antea, quæ facienda essent, intellexisse. Quæ ubi advenit,

Περσέων, καὶ τοὺς δορυφόρους, ἔλεξε Ξέρξης τάδε. "Κελεύει με Μαρδόνιος μένοντα αὐ-"τοῦ, πειρᾶσθαι τῆς Πελοποννήσου· λέγων "ὥς μοι Πέρσαι τε καὶ ὁ πεζὸς στρατὸς "οὐδενὸς μεταίτιοι πάθεός εἰσι, ἀλλὰ βου-"λομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. ἐμὲ ὦν "ἢ ταῦτα κελεύει ποιέειν, ἢ αὐτὸς ἐθέλει "τριήκοντα μυριάδας ἀπολεξάμενος τοῦ "στρατοῦ παρασχεῖν μοι τὴν Ἑλλάδα δε-"δουλωμένην· αὐτὸν δέ με κελεύει ἀπελαύ-"νειν σὺν τῷ λοιπῷ στρατῷ ἐς ἤθεα τὰ ἐμά. "σὺ ὦν ἐμοὶ, καὶ γὰρ περὶ τῆς ναυμαχίης "εὖ συνεβούλευσας τῆς γενομένης οὐκ ἐῶσα "ποιέεσθαι, νῦν τε συμβούλευσον, ὁκότερα "ποιέων ἐπιτύχω εὖ βουλευσάμενος." ὁ μὲν ταῦτα συνεβουλεύετο.

---

eam Xerxes summotis aliis Persarum consiliariis atque satellitibus, hunc in modum alloquutus est: hortatur me Mardonius hic permanere ad tentandam Peloponnesum, negans ullam culpam hujus damni esse penes Persas atque pedestres copias, sed eis volentibus fiat experimentum. Itaque aut hoc me facere hortatur, aut ipse vult, trecenta millia militum deligens, subactam mihi tradere Græciam: me vero ad patrias sedes monet cum reliquo exercitu discedere. Tu igitur, etenim de pugna navali quæ contigit, non committenda probe consuluisti, nunc quoque dicito utrum mihi suadeas horum, quod eligendo bene consuluero.

ρβ'. Ἡ δὲ λέγει τάδε, "Βασιλεῦ, χα-
"λεπὸν μέν ἐστι συμβουλευομένῳ τυχεῖν τὰ
"ἄριστα εἴπασαν. ἐπὶ μέντοι τοῖσι κατήκου-
"σι πρήγμασι, δοκέει μοι αὐτὸν μέν σε
"ἀπελαύνειν ὀπίσω· Μαρδόνιον δὲ, εἰ ἐθέλει
"τε καὶ ὑποδέκεται ταῦτα ποιήσειν, αὐτοῦ
"καταλιπεῖν σὺν τοῖσι ἐθέλει. τοῦτο μὲν
"γὰρ, ἢν καταστρέψηται τά φησι ἐθέλειν,
"καί οἱ προχωρήσῃ τὰ νοέων λέγει, σὸν τὸ
"ἔργον, ὦ δέσποτα, γίνεται· οἱ γὰρ σοὶ
"δοῦλοι κατεργάσαντο. τοῦτο δὲ, ἢν τὰ
"ἐναντία τῆς Μαρδονίου γνώμης γένηται,
"οὐδεμίη συμφορὴ μεγάλη ἔσται, σέο τε
"περιεόντος, καὶ ἐκείνων τῶν πρηγμάτων
"περὶ οἶκον τὸν σόν. ἢν γὰρ σύ τε περιῇς,
"καὶ οἶκος ὁ σὸς, πολλοὺς πολλάκις ἀγῶ-

---

102. Hæc Xerxi consultanti respondens Artemisia, Arduum, inquit, rex, est me quæ dixi optima, consulenti adesse: tamen pro statu rerum præsentium censeo te ipsum retro abire; Mardonium vero hic relinquas cum iis quos vult, si modo velit ille, atque recipiat se ista facturum. Nam sive ea quæ ait se velle, subegerit, et hæc ei quæ cogitans dicit succedant, tuum, domine, opus est; quia id tui servi effecerint: sive Mardonio contra opinionem contingat, non magna sane calamitas erit, salvo et te et rerum domesticarum statu. Etenim si incolumis es et domus tua, profecto Græci sæpenumero pro se ipsis multa certamina cursitabunt; at si quid contin-

" νας δραμέονται περὶ σφέων αὐτέων οἱ Ἕλ-
" ληνες. Μαρδονίου δὲ, ἤν τι πάθῃ, λόγος
" οὐδεὶς γίνεται· οὐδέ τι νικῶντες οἱ Ἕλληνες
" νικῶσι, δοῦλον σὸν ἀπολέσαντες· σὺ δὲ,
" τῶν εἵνεκα τὸν στόλον ἐποιήσω, πυρώσας
" τὰς Ἀθήνας, ἀπελᾷς."

ργ'. Ἥσθη τε δὴ τῇ συμβουλίῃ Ξέρξης· λέγουσα γὰρ ἐπετύγχανε τάπερ αὐτὸς ἐπενόεε. οὐδὲ γὰρ εἰ πάντες καὶ πᾶσαι συνεβούλευον αὐτῷ μένειν, ἔμενε ἂν, δοκέειν ἐμοί· οὕτω καταῤῥωδήκεε. ἐπαινέσας δὲ τὴν Ἀρτεμισίην, ταύτην μὲν ἀποστέλλει ἄγουσαν αὐτοῦ τοὺς παῖδας ἐς Ἔφεσον. νόθοι γάρ τινες παῖδές οἱ συνέσποντο.

ρδ'. Συνέπεμπε δὲ τοῖσι παισὶ φύλακον Ἑρμότιμον, γένος μὲν ἐόντα Πηδασέα, φερό-

---

gat Mardonio cladis, id nullius erit momenti, Græcique vincendo non vicerint, servo tuo interempto. Tu vero Athenis incensis, cujus rei gratia expeditionem sumsisti, reverteris.

103. Delectatus eo consilio Xerxes, quod idem illa suasisset quod ipse haberet in animo: quippe qui, ut ego opinor, non remansisset, si vel cuncti atque cunctæ id ei suasissent, adeo perterritus erat. Artemisiam igitur laudatam dimisit, ducentem secum liberos regios Ephesum: nam aliquot eum filii nothi comitabantur.

104. Cum quibus ad eorum custodiam misit Hermotimum, genere quidem Pedasensem, sed apud regem inter eunuchos nulli secundum. Incolunt au-

μενον δὲ οὐ τὰ δεύτερα τῶν εὐνούχων παρὰ βασιλέϊ. οἱ δὲ Πηδασέες οἰκέουσι ὑπὲρ Ἁλικαρνησσοῦ. [ἐν δὲ τοῖσι Πηδασέοισι τούτοισι τοιόνδε φέρεται πρῆγμα γίνεσθαι. ἐπεὰν τοῖσι ἀμφικτίοσι πᾶσι τοῖσι ἀμφὶ ταύτης οἰκέουσι τῆς πόλιος μέλλῃ τι ἐντὸς χρόνου ἔσεσθαι χαλεπὸν, τότε ἡ ἱρείη αὐτόθι τῆς Ἀθηναίης φύει πώγωνα μέγαν. τοῦτο δέ σφι δὶς ἤδη ἐγένετο.]

ρε΄. Ἐκ τουτέων δὴ τῶν Πηδασέων ὁ Ἑρμότιμος ἦν, τῷ μεγίστη τίσις ἤδη ἀδικηθέντι ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν. ἁλόντα γὰρ αὐτὸν ὑπὸ πολεμίων, καὶ πωλεόμενον, ὠνέεται Πανιώνιος, ἀνὴρ Χῖος· ὃς τὴν ζόην κατεστήσατο ἀπ' ἔργων ἀνοσιωτάτων. ὅκως γὰρ κτήσαιτο παῖδας εἴδεος ἐπαμμένους, ἐκτάμνων,

---

tem Pedasenses super Halicarnassum; [apud quos hoc rei fertur contingere, ut quoties accolis omnibus qui circa eam urbem habitant aliquid adversi intra annum est eventurum, tunc Minervæ antistiti, quæ illic est, grandis barba nascatur: quæ res bis apud eos jam accidit.]

105. Ex his Pedasensibus Hermotimus erat, cui maxima ex omnibus, quos quidem ipsi novimus, ultio contigit acceptæ injuriæ. Siquidem eum captum ab hostibus ac venalem mercatus est Panionius, vir Chius, ex hoc impurissimo quæstu vitam sectans: nam quos pueros forma præditos coëmerat, eos castrabat; ductosque aut Sardes aut Ephe-

ἀγινέων ἐπώλεε ἐς Σάρδις τε καὶ Ἔφεσον χρημάτων μεγάλων. παρὰ γὰρ τοῖσι βαρβάροισι τιμιώτεροί εἰσι οἱ εὐνοῦχοι, πίστιος εἵνεκα τῆς πάσης, τῶν ἐνορχίων. ἄλλους τε δὴ ὁ Πανιώνιος ἐξέταμε πολλοὺς, ἅτε ποιεύμενος ἐκ τουτέων τὴν ζόην, καὶ δὴ καὶ τοῦτον. καὶ, οὐ γὰρ τὰ πάντα ἐδυστύχεε ὁ Ἑρμότιμος, ἀπικνέεται ἐκ τῶν Σαρδίων παρὰ βασιλῆα μετ᾽ ἄλλων δώρων· χρόνου δὲ προϊόντος, πάντων τῶν εὐνούχων ἐτιμήθη μάλιστα παρὰ Ξέρξῃ.

ρς΄. Ὡς δὲ τὸ στράτευμα τὸ Περσικὸν ὥρμα ὁ βασιλεὺς ἐπὶ τὰς Ἀθήνας, ἐὼν ἐν Σάρδισι, ἐνθαῦτα καταβὰς κατὰ δή τι πρῆγμα ὁ Ἑρμότιμος ἐς γῆν τὴν Μυσίην, τὴν Χῖοι μὲν νέμονται, Ἀταρνεὺς δὲ καλέεται

---

sum, magna pecunia venundabat. Apud barbaros enim pretiosiores eunuchi sunt quam qui non sunt castrati, universæ fidei gratia. Ceterum ut alios permultos, ita hunc quoque Panionius execuit, ut qui ex hac re vitam toleraret. Sed non omnia infelix Hermotimus, e Sardibus ad regem cum aliis muneribus deductus est, progressuque temporis ex omnibus eunuchis maximo in honore apud Xerxem est habitus.

106. Quum autem rex adversus Athenas moveret e Sardibus, per id tempus Hermotimus cujusdam negotii gratia descendit in agrum Mysium, qui a Chiis incolitur, sed Atarneus vocitatur: ibi inventum Panionium atque agnitum allo-

εὑρίσκει τὸν Πανιώνιον ἐνθαῦτα. ἐπιγνοὺς δὲ ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους· πρῶτα μέν οἱ καταλέγων ὅσα αὐτὸς δι' ἐκεῖνον ἔχοι ἀγαθά· δεύτερα δέ οἱ ὑπισχνεύμενος ἀντὶ τουτέων ὅσά μιν ἀγαθὰ ποιήσειεν, ἢν κομίσας τοὺς οἰκέτας οἰκέῃ ἐκείνῃ· ὥστε ὑποδεξάμενον ἄσμενον τοὺς λόγους τὸν Πανιώνιον, κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα. ὡς δὲ ἄρα πανοικίῃ μιν περιέλαβε, ἔλεγε ὁ Ἑρμότιμος τάδε, "Ὦ πάντων ἀνδρῶν ἤδη "μάλιστα ἀπ' ἔργων ἀνοσιωτάτων τὸν βίον "κτησάμενε, τί σε ἐγὼ κακὸν ἢ αὐτὸς, ἢ "τῶν ἐμῶν τίς ἐργάσατο, ἢ σε, ἢ τῶν σῶν "τινα, ὅτι με ἀντ' ἀνδρὸς ἐποίησας τὸ μη-"δὲν εἶναι; ἐδοκέες τε θεοὺς λήσειν οἷα ἐμη-"χανῶ τότε· οἵ σε ποιήσαντα ἀνόσια, νόμῳ

quutus est et multis et comibus verbis, primum recensens ei, quot per illum esset assequutus bona, deinde pollicens quam gratiam illius meriti foret relaturus, si homo cum suis domesticis illuc commigrasset. Ea oratione libenter audita Panionius contulit se illuc cum uxore et liberis. Quem posteaquam cum omni familia adeptus est Hermotimus, his verbis affatus est, o omnium post homines natos ex nefandissima negotiatione quæstum faciens; quid aut ipse ego, aut meorum quispiam vel tibi vel tuorum cuipiam mali fecit, quod me ex viro feceris nihil esse? et putabas fore ut quæ tunc machinabaris laterent deos? qui justa lege utentes, te infandorum •-

" δικαίῳ χρεόμενοι, ὑπήγαγον ἐς χέρας τὰς " ἐμὰς, ὥστε σε μὴ μέμψασθαι τὴν ἀπ' " ἐμέο τοι ἐσομένην δίκην." ὡς δέ οἱ ταῦτα ὠνείδισε, ἀχθέντων τῶν παίδων ἐς ὄψιν, ἠναγκάζετο ὁ Πανιώνιος τῶν ἑωϋτοῦ παίδων τεσσέρων ἐόντων τὰ αἰδοῖα ἀποτάμνειν· ἀναγκαζόμενος δὲ, ἐποίεε ταῦτα· αὐτοῦ τε, ὡς ταῦτα ἐργάσατο, οἱ παῖδες ἀναγκαζόμενοι ἀπέταμνον. Πανιώνιον μέν νυν οὕτω περιῆλθε ἥ τε τίσις καὶ ὁ Ἑρμότιμος.

ρζ'. Ξέρξης δὲ, ὡς τοὺς παῖδας Ἀρτεμισίῃ ἐπέτρεψε ἀπάγειν ἐς Ἔφεσον, καλέσας Μαρδόνιον, ἐκέλευέ μιν τῆς στρατιῆς διαλέγειν τοὺς ἂν βούληται, καὶ ποιέειν τοῖσι λόγοισι τὰ ἔργα πειρώμενον ὁμοῖα. ταύτην μὲν τὴν ἡμέρην ἐς τοσοῦτο ἐγίνετο. τῆς δὲ νυκτὸς, κελεύσαντος βασιλῆος, τὰς νῆας οἱ στρατη-

---

pificem tradiderunt in manus meas, ut de pœna a me tibi irroganda queri non possis. Hæc ubi exprobravit homini, filiis in conspectum adductis, coactus fuit Panionius genitalia filiorum suorum qui quatuor erant, abcidere: et coactus illa fecit, et postquam fecisset: filii adacti virilia ejus abciderunt. Ita ultio ac Hermotimus persequutus est Panionium.

107. Xerxes autem filiorum Ephesum deducendorum negotio Artemisiæ demandato, accitum Mardonium jussit e copiis quos liberet eligere, ut consentanea verbis facta exequi experiretur. Hactenus eo die est actum. Noctu autem regis jus-

γοὶ ἐκ τοῦ Φαλήρου ἀπῆγον ὀπίσω ἐς τὸν Ἑλλήσποντον, ὡς τάχεος εἶχε ἕκαστος, διαφυλαξούσας τὰς σχεδίας πορευθῆναι βασιλεϊ. ἐπεὶ δὲ ἀγχοῦ ἔσαν Ζωστῆρος πλώοντες οἱ βάρβαροι, ἀνατείνουσι γὰρ ἄκραι λεπταὶ τῆς ἠπείρου ταύτης, ἔδοξάν τε νῆας εἶναι, καὶ ἔφευγον ἐπὶ πολλόν. χρόνῳ δὲ μαθόντες ὅτι οὐ νῆες εἶεν, ἀλλ' ἄκραι, συλλεχθέντες, ἐκομίζοντο.

ρη'. Ὡς δὲ ἡμέρη ἐγένετο, ὁρέοντες οἱ Ἕλληνες κατὰ χώρην μένοντα τὸν στρατὸν τὸν πεζὸν, ἤλπιζον καὶ τὰς νῆας εἶναι περὶ Φάληρον· ἐδόκεόν τε ναυμαχήσειν σφέας, παραρτέοντό τε ὡς ἀλεξησόμενοι. ἐπεὶ δὲ ἐπύθοντο τὰς νῆας οἰχωκυίας, αὐτίκα μετὰ ταῦτα ἐδόκεε ἐπιδιώκειν. τὸν μέν νυν ναυ-

---

su duces e Phalero naves retro Hellespontum versus abduxerunt, pro se quisque accelerantes, ad custodiendas regi rates, quibus transiret. Ita navigantes barbari quum Zosteri appropinquarent, minuta quædam continentis illius prominentia promontoria suspicati navigia esse, perdiu illinc aufugerunt: tandem deinde edocti non navigia esse, sed promontoria, in agmen sese receperunt.

108. Ut autem dies illuxit, Græci cernentes ibidem pedestres copias hostium perstare, rati classem quoque circa Phalerum esse, ac pugnam navalem commissum iri, se ad resistendum apparabant. Sed cognito illam vela fecisse, confestim insequi censebant: itaque eam

τικὸν τὸν Ξέρξεω στρατὸν οὐκ ἐπεῖδον διώξαντες μέχρι Ἄνδρου. ἐς δὲ τὴν Ἄνδρον ἀπικόμενοι, ἐβουλεύοντο. Θεμιστοκλέης μέν νυν γνώμην ἀπεδείκνυτο, διὰ νήσων τραπομένους, καὶ ἐπιδιώξαντας τὰς νῆας, πλώειν ἰθέως ἐπὶ τὸν Ἑλλήσποντον, λύσοντας τὰς γεφύρας. Εὐρυβιάδης δὲ τὴν ἐναντίην ταύτῃ γνώμην ἐτίθετο, λέγων ὡς εἰ λύσουσι τὰς σχεδίας, τοῦτ' ἂν μέγιστον πάντων σφεῖς κακῶν τὴν Ἑλλάδα ἐργάσαιντο. εἰ γὰρ ἀναγκασθείη ἀπολαμφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ Εὐρώπῃ, πειρῷτο ἂν ἡσυχίην μὴ ἄγειν· ὡς ἄγοντι μὲν οἱ ἡσυχίην οὔτε τι προχωρέειν οἷόν τε ἔσται τῶν πρηγμάτων, οὔτε τις κομιδὴ τὸ ὀπίσω φανήσεται, λιμῷ τέ οἱ ἡ στρατιὴ διαφθαρέεται· ἐπιχειρέοντι δὲ αὐτῷ, καὶ ἔργου ἐχο-

---

insequuti Andro tenus, cernere quum nequissent, ad Andrum profecti consultabant. Quibus Themistocles suadebat, ut per insulas navigatione instituta, classem hostium insequentes recta ad Hellespontum navigarent, soluturi pontes. Huic contrariam Eurybiades opponebat sententiam, quod diceret fore ut si dissolverent pontes, maxima ob id calamitate afficerent Græciam. Persa enim, si deprehensus manere' in Europa cogeretur, tentaturus est quietem non agere; quod sibi otium quidem agenti nec ulla res posset procedere, nec ullus retro ostenderetur receptus, et exercitus suus fame conficeretur: aggredienti vero et rebus gerendis operam danti omnia

μένῳ, πάντα τὰ κατὰ τὴν Εὐρώπην οἷά τε ἔσται προσχωρῆσαι κατὰ πόλιάς τε καὶ κατὰ ἔθνεα, ἤτοι ἁλισκομένων γε, ἢ πρὸ τούτου ὁμολογεόντων· τροφήν τε ἕξειν σφέας τὸν ἐπέτειον αἰεὶ τῶν Ἑλλήνων καρπόν. ἀλλὰ δοκέειν γὰρ νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν τῇ Εὐρώπῃ τὸν Πέρσεα. ἐατέον ὦν εἶναι φεύγειν ἐς ὃ ἔλθοι φεύγων ἐς τὴν ἑωϋτοῦ. τὸ ἐνθεῦτεν δὲ περὶ τῆς ἐκείνου ποιέεσθαι ἤδη τὸν ἀγῶνα ἐκέλευε. ταύτης δὲ εἴχοντο τῆς γνώμης καὶ Πελοποννησίων τῶν ἄλλων οἱ στρατηγοί.

ρθʹ. Ὡς δὲ ἔμαθε ὅτι οὐ πείσει τούς γε πολλοὺς πλώειν ἐς τὸν Ἑλλήσποντον ὁ Θεμιστοκλέης, μεταβαλὼν πρὸς τοὺς Ἀθηναίους· οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέ-

---

possent per Europam succedere, tum in urbibus, tum in nationibus quæ vel caperentur, vel antea sese dederent: quin etiam rem frumentariam habituros ex annuis semper fructibus Græcorum. Nunc autem videri, Persam utpote victum navali prœlio, non perstare in Europa: ideoque permitti oportere, ut fugiat, dum in terram suam fugiendo perveniret: de qua terra tunc certamen fieri jubebat. Huic sententiæ aliorum Peloponnesium duces assensere.

109. At Themistocles, postquam animadvertit se non posse plerisque persuadere ut ad Hellespontum navigarent, adiit Athenienses, qui præcipue indignabantur hostem effugere,

κτεον, ὁρμέατό τε ἐς τὸν Ἑλλήσποντον πλώειν, καὶ ἐπὶ σφέων αὐτέων βαλλόμενοι, εἰ ὦλλοι μὴ βουλοίατο, ἔλεγέ σφι τάδε, "Καὶ "αὐτὸς ἤδη πολλοῖσι παρεγενόμην, καὶ "πολλῷ πλέω ἀκήκοα τοιάδε γενέσθαι· ἄν-"δρας ἐς ἀναγκαίην ἀπειληθέντας, νενικη-"μένους ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν "τὴν προτέρην κακότητα. ἡμεῖς δὲ, εὕρημα "γὰρ εὑρήκαμεν ἡμέας τε αὐτοὺς καὶ τὴν "Ἑλλάδα, νέφος τοσοῦτον ἀνθρώπων ἀνω-"σάμενοι, μὴ διώκωμεν ἄνδρας φεύγοντας. "τάδε γὰρ οὐκ ἡμεῖς κατεργασάμεθα, "ἀλλὰ θεοί τε καὶ ἥρωες, οἳ ἐφθόνησαν "ἄνδρα ἕνα τῆς τε Ἀσίης καὶ τῆς Εὐρώ-"πης βασιλεῦσαι, ἐόντα ἀνόσιόν τε καὶ "ἀτάσθαλον· ὃς τὰ ἱρὰ καὶ τὰ ἴδια ἐν

animatique erant ad navigandum in Hellespontum, etiam per se ipsos, si ceteri recusassent: eosque ita est alloquutus, Et ipse multis jam hujusmodi casibus interfui, et de multo pluribus audivi talia contigisse, viros ad necessitatem redactos etsi victos prœlium instaurasse, et superiorem inertiam emendasse: itaque nos, quoniam hoc lucro potiti sumus, ut et nos ipsos et Græciam tueremur, repulsa tanta hominum nube, non insequamur viros fugientes. Neque enim nos ista effecimus, sed dii pariter et heroës, qui inviderunt unum virum esse et Asiæ regem et Europæ, qui sit impiissimus atque scelestus: qui sacra eodem loco atque profana habens, utraque incendit;

" ὁμοίῳ ἐποιέετο, ἐμπιπρὰς τε καὶ κατα-
" βάλλων τῶν θεῶν τὰ ἀγάλματα· ὃς καὶ
" τὴν θάλασσαν ἀπεμαστίγωσε, πέδας τε
" κατῆκε. ἀλλ' εὖ γὰρ ἔχει ἐς τὸ παρεὸν
" ἡμῖν, νῦν μὲν ἐν τῇ Ἑλλάδι καταμείναν-
" τες, ἡμέων τε αὐτέων ἐπιμεληθῆναι καὶ
" τῶν οἰκετέων· καί τις οἰκίην τε ἀναπλα-
" σάσθω, καὶ σπόρου ἀνακῶς ἐχέτω, παντε-
" λέως ἀπελάσας τὸν βάρβαρον· ἅμα δὲ
" τῷ ἔαρι καταπλέωμεν ἐπὶ Ἑλλησπόντου
" καὶ Ἰωνίης." ταῦτα ἔλεγε, ἀποθήκην μέλλων ποιήσεσθαι ἐς τὸν Πέρσεα, ἵνα ἢν ἄρα τι μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος, ἔχῃ ἀποστροφήν· τάπερ ὦν καὶ ἐγένετο.

ρί. Θεμιστοκλέης μὲν ταῦτα λέγων, διέβαλλε, Ἀθηναῖοι δὲ ἐπείθοντο· ἐπειδὴ γὰρ

---

deorumque simulacra subvertit; qui et mare cecidit flagellis, et compedes in illud dejecit. Sed bene nobiscum in præsens tempus agitur: ideoque nunc quidem, ut et nostri ipsorum et nostrorum domesticorum curam geramus, et ut spatium quis ad reficiendas ædes, faciendamque sementem habeat, in Græcia maneamus, barbaro prorsus ejecto: quum autem ver appetet, tunc in Hellespontum et Ioniam navigemus. Hæc dicebat Themistocles, animo sibi apud Persam comparandi receptum, ut siquid apud Athenienses accideret adversi sibi, haberet quo se converteret; prout et contigit.

110. Hæc dicenti Themistocli Athenienses, quum tamen

καὶ πρότερον δεδογμένος εἶναι σοφὸς, ἐφάνη ἐὼν ἀληθέως σοφός τε καὶ εὔβουλος, πάντως ἑτοῖμοι ἔσαν λέγοντι πείθεσθαι. ὡς δὲ οὗτοί οἱ ἀνεγνωσμένοι ἔσαν, αὐτίκα μετὰ ταῦτα ὁ Θεμιστοκλέης ἄνδρας ἀπέπεμπε ἔχοντας πλοῖον, τοῖσι ἐπίστευσε σιγᾷν ἐς πᾶσαν βάσανον ἀπικνεομένοισι, τὰ αὐτὸς ἐνετείλατο βασιλέϊ φράσαι· τῶν καὶ Σίκιννος ὁ οἰκέτης αὖτις ἐγένετο. οἳ ἐπειδὴ ἀπίκοντο πρὸς τὴν Ἀττικὴν, οἱ μὲν κατέμενον ἐπὶ τῷ πλοίῳ, Σίκιννος δὲ ἀναβὰς παρὰ Ξέρξεα, ἔλεγε τάδε, "Ἔπεμψέ με Θεμιστοκλέης ὁ Νεο-
"κλέος, στρατηγὸς μὲν Ἀθηναίων, ἀνὴρ
"δὲ τῶν συμμάχων πάντων ἄριστος καὶ
"σοφώτατος, φράσοντά τοι ὅτι Θεμιστο-
"κλέης ὁ Ἀθηναῖος, σοὶ βουλόμενος ὑπουρ-

---

ab eo deciperentur, assensi sunt: nam quia et antea sapiens esse visus, vere prudens ac bene consulens compertus fuit, prorsus et ad assentiendum prompti erant. Ille, ubi Athenienses ipsius sententiam probavere, misit e vestigio viros cum navigio ad exponenda regi mandata, confisus tacituros, etsi in omne tormentum devenirent; quorum etiam rursus erat Sicinnus domesticus. Hi, posteaquam ad Atticam pervenere, ceteris apud navigium remanentibus, Sicinnus ad regem ascendit, atque ita eum alloquutus est, Themistocles Neoclis filius, dux quidem Atheniensium, sed inter omnes socios vir optimus ac sapientissimus, misit me tibi denuncia-

" γέειν, ἔσχε τοὺς Ἕλληνας, τὰς νῆας
" βουλομένους διώκειν, καὶ τὰς ἐν Ἑλλη-
" σπόντῳ γεφύρας λύειν. καὶ νῦν κατ᾽ ἡσυ-
" χίην πολλὴν κομίζεο." οἱ μὲν, ταῦτα ση-
μήναντες, ἀπέπλωον ὀπίσω.

ρια΄. Οἱ δὲ Ἕλληνες, ἐπεί τέ σφι ἀπέδοξε μήτ᾽ ἐπιδιώκειν ἔτι προσωτέρω τῶν βαρβάρων τὰς νῆας, μήτε ἐπι πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντας τὸν πόρον, τὴν Ἄνδρον περιεκατέατο, ἐξελέειν ἐθέλοντες. πρῶτοι γὰρ Ἄνδριοι νησιωτέων, χρήματα αἰτηθέντες πρὸς Θεμιστοκλέος, οὐκ ἔδοσαν· ἀλλὰ προϊσχομένου Θεμιστοκλέος λόγον τόνδε, ὡς ἥκοιεν Ἀθηναῖοι περὶ ἑωϋτοὺς ἔχοντες δύο θεοὺς μεγάλους, Πειθώ τε καὶ Ἀναγκαίην, οὕτω τέ σφι κάρτα δοτέα εἶναι χρήματα· ὑπεκρίναν-

---

tum, tibi præstandi officii ergo se retinuisse Græcos, classem tuam insequi volentes, pontesque qui sunt in Hellesponto solvere: etiam nunc multa cum tranquillitate te illuc recipias. Hac re nunciata, isti denuo abiere.

111. At Græci, posteaquam decreverunt neque persequi ulterius barbarorum classem, neque navigare in Hellespontum ad solvendum trajectum, Andrum obsederunt, animo illam delendi: nam primi ex insulanis Andrii pecunias poscenti Themistocli denegaverant, eique alleganti Athenienses illuc ire duobus magnis numinibus fretos, Suadela et Necessitate, et ita sibi dandas utique esse pecunias, responderant ad hæc,

τὸ πρὸς ταῦτα, λέγοντες ὡς κατὰ λόγον ἔσαν ἄρα αἱ Ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες, καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ. ἐπεὶ Ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μέγιστα ἀνήκοντας, καὶ θεοὺς δύο ἀχρήστους οὐκ ἐκλείπειν σφέων τὴν νῆσον, ἀλλ' αἰεὶ φιλοχωρέειν, Πενίην τε καὶ Ἀμηχανίην· καὶ τουτέων τῶν θεῶν ἐπηβόλους ἐόντας Ἀνδρίους, οὐ δώσειν χρήματα· οὐδέκοτε γὰρ τῆς ἑωϋτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι κρέσσω. οὗτοι μὲν δὴ ταῦτα ὑποκρινάμενοι, καὶ οὐ δόντες χρήματα, ἐπολιορκέοντο.

ριβ΄. Θεμιστοκλέης δὲ, οὐ γὰρ ἐπαύετο πλεονεκτέων, ἐσπέμπων ἐς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους, αἴτεε χρήματα διὰ τῶν αὐτέων ἀγγέλων, χρεόμενος λόγοισι τοῖ-

---

Athenas merito magnas esse atque felices, et diis bonis bene vigere: quoniam Andrii ad maximam soli tenuitatem redacti essent et ipsorum insulam totidem damnosa numina nunquam derelinquere, sed semper incolere, Inopiam et Impossibilitatem: quibus diis potientes Andrios pecuniam non daturos; nunquam enim sua imbecillitate validiorem fore Atheniensium potentiam. Hæc illi quum respondissent, nec pecuniam dedissent, obsidebantur.

112. Themistocles vero, neque enim ab acquirendo cessabat, ad ceteras insulas minacia verba mittens, pecuniam flagitabat, eisdem nunciis eisdem-

σι καὶ πρὸς Ἀνδρίους ἐχρήσατο· λέγων ὡς εἰ μὴ δώσουσι τὸ αἰτεόμενον, ἐπάξει τὴν στρατιὴν τῶν Ἑλλήνων, καὶ πολιορκέων ἐξαιρήσει. λέγων ταῦτα, συνέλεγε χρήματα μεγάλα παρὰ Καρυστίων τε καὶ Παρίων· οἳ πυνθανόμενοι τήν τε Ἄνδρον ὡς πολιορκέοιτο, διότι ἐμήδισε, καὶ Θεμιστοκλῆα, ὡς εἴη ἐν αἴνῃ μεγίστῃ τῶν στρατηγῶν, δείσαντες ταῦτα, ἔπεμπον χρήματα. εἰ δὲ δή τινες καὶ ἄλλοι ἔδοσαν νησιωτέων, οὐκ ἔχω εἶπαι· δοκέω δέ τινας καὶ ἄλλους δοῦναι, καὶ οὐ τούτους μούνους. καίτοι Καρυστίοισι γε οὐδὲν, τούτου εἵνεκα, τοῦ κακοῦ ὑπερβολὴ ἐγένετο. Πάριοι δὲ Θεμιστοκλῆα χρήμασι ἱλασάμενοι, ἔφυγον τὸ στράτευμα. Θεμιστοκλέης μέν νυν ἐξ Ἄνδρου ὁρμεόμενος, χρήματα

---

que verbis utens, quibus ad Andrios fuerat usus: nisi pecuniam darent quam poscerentur, exercitum se Græcorum illuc adducturum, et obsidendo deleturum. Hæc dicendo, ingentem pecuniæ vim coëgit a Carystiis atque a Pariis: qui audito tum Andrum obsideri, quod cum Medis sensisset, tum Themistoclem maximo in honore inter duces esse, hoc metu pecuniam misere. Aliarum autem insularum aliqua pecuniam dederit necne, affirmare nequeo: reor tamen alias quoque quasdam dedisse, non has solas. Quanquam Carystiis ne hac quidem re contigit effugere cladem, ut Pariis, qui Themistocle pecunia delenito, expeditionem devitarunt. Ita The-

παρὰ νησιωτέων ἐκτέετο, λάθρῃ τῶν ἄλλων στρατηγῶν.

ριγ΄. Οἱ δ᾽ ἀμφὶ Ξέρξεα, ἐπισχόντες ὀλίγας ἡμέρας μετὰ τὴν ναυμαχίην ἐξέλαυνον ἐς Βοιωτοὺς τὴν αὐτὴν ὁδόν. ἔδοξε γὰρ Μαρδονίῳ, ἅμα μὲν προπέμψαι βασιλῆα, ἅμα δὲ ἀνωρίην εἶναι τοῦ ἔτεος πολεμέειν· χειμερίσαι δὲ ἄμεινον εἶναι ἐν Θεσσαλίῃ, καὶ ἔπειτα ἅμα τῷ ἔαρι πειρᾶσθαι τῆς Πελοποννήσου. ὡς δὲ ἀπίκατο ἐς τὴν Θεσσαλίην, ἐνθαῦτα Μαρδόνιος ἐξελέγετο πρώτους μὲν Πέρσας πάντας τοὺς ἀθανάτους καλεομένους, πλὴν Ὑδάρνεος τοῦ στρατηγοῦ. οὗτος γὰρ οὐκ ἔφη λείψεσθαι βασιλῆος· μετὰ δὲ, τῶν ἄλλων Περσέων τοὺς θωρηκοφόρους, καὶ τὴν ἵππον τὴν χιλίην· καὶ Μήδους τε καὶ Σάκας,

---

mistocles ex Andro exortus, clam ceteris ducibus exegit pecunias ab insulanis.

113. At copiæ Xerxis illic aliquot post pugnam dies immoratæ, moverunt in Bœotos eadem qua venerant via. Quippe Mardonio visum est simul regem prosequi, et simul intempestivum anni tempus esse ad belligerandum; atque etiam in Thessalia satius esse hybernare, et deinde ineunte vere tentare Peloponnesum. Itaque ubi in Thessaliam perventum est, ibi Mardonius ante omnia Persas universos, qui immortales vocantur, elegit, excepto eorum duce Hydarne, qui negavit se rege esse cariturum. Item ex aliis Persis thoracatos, et millenarium equitatum: ad

καὶ Βακτρίους τε, καὶ Ἰνδοὺς, καὶ τὸν πεζὸν, καὶ τὴν ἄλλην ἵππον. ταῦτα μὲν ἔθνεα ὅλα εἵλετο· ἐκ δὲ τῶν ἄλλων συμμάχων ἐξελέγετο κατ᾽ ὀλίγους, τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων, καὶ εἴ τέοισί τι χρηστὸν συνήδεε πεποιμένον. ἐν δὲ, πλεῖστον ἔθνος Πέρσας αἱρέετο, ἄνδρας στρεπτοφόρους τε καὶ ψελιοφόρους· ἐπὶ δὲ, Μήδους. οὗτοι δὲ πλῆθος μὲν οὐκ ἐλάσσονες ἔσαν τῶν Περσέων, ῥώμῃ δὲ ἕσσονες. ὥστε σύμπαντας, τριήκοντα μυριάδας γενέσθαι σὺν ἱππεῦσι.

ριδ'. Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐν τῷ Μαρδόνιός τε τὴν στρατιὴν διέκρινε, καὶ Ξέρξης ἦν περὶ Θεσσαλίην, χρηστήριον ἐληλύθεε ἐκ Δελφῶν Λακεδαιμονίοισι, Ξέρξεα αἰτέειν δίκας τοῦ Λεωνίδεω φόνου, καὶ τὸ

---

hæc Medorum, Sacarum, Bactrianorum, Indorum et peditatum et equitatum reliquum. Has nationes sibi totas desumpsit: ex sociis autem elegit discernens quibus aut species aderant, aut a quibus aliquod egregium facinus peractum cognoverat. Sed plurimos ex una gente Persarum delegit torquatos et armillatos; secundo loco Medos, qui non numero Persis inferiores erant, sed robore: ita ut universi, trecenta millia una cum equitibus essent.

114. Hoc interim tempore quo Mardonius habebat delectum copiarum, et Xerxes circa Thessaliam agebat, oraculum e Delphis ad Lacedæmonios venit, ut Xerxem pœnas necis

διδόμενον ἐξ ἐκείνου δέκεσθαι. πέμπουσι δὴ κήρυκα τὴν ταχίστην Σπαρτιῆται· ὃς ἐπειδὴ κατέλαβε ἐοῦσαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, ἐλθὼν ἐς ὄψιν τὴν Ξέρξεω, ἔλεγε τάδε· "Ὦ βασιλεῦ Μήδων, Λακεδαιμό-"νιοί τε σε καί Ἡρακλεῖδαι οἱ ἀπὸ Σπάρ-"της αἰτέουσι φόνου δίκας, ὅτι σφέων τὸν "βασιλῆα ἀπέκτεινας ῥυόμενον τὴν Ἑλλά-"δα." ὁ δὲ, γελάσας τε καὶ κατασχὼν πολλὸν χρόνον, ὥς οἱ ἐτύγχανε παρεστεὼς Μαρδόνιος, δεικνὺς ἐς τοῦτον, εἶπε, "Τοι-"γάρ σφι Μαρδόνιος ὅδε δίκας δώσει τοιαύ-"τας οἵας ἐκείνοισι πρέπει." ὁ μὲν δὴ, δεξάμενος τὸ ῥηθὲν, ἀπαλλάσσετο.

ριέ. Ξέρξης δὲ Μαρδόνιον ἐν Θεσσαλίῃ καταλιπὼν, αὐτὸς ἐπορεύετο κατὰ τάχος ἐς

Leonidæ poscerent, et quod daretur ab eo acciperent. Mittunt igitur quam citissime Spartiatæ caduceatorem. Is adhuc in Thessalia nactus integrum exercitum, ubi in conspectum Xerxis venit, ita verba fecit; Rex Medorum, Lacedæmonii te et Heraclidæ ab Sparta pœnas cædis poscunt, quod regem ipsorum interemisti, dum Græciam protegit. Ad ea Xerxes cachinnos tollit: ac diu responso non reddito, Hic, inquit, monstrato Mardonio, ut ille ei assistebat, pœnas tales dabit, quales illos decet. Caduceator hoc responso accepto discessit.

115. Xerxes Mardonio in Thessalia relicto, ipse ad Hellespontum ire maturabat: in-

τὸν Ἑλλήσποντον· καὶ ἀπικνέεται ἐς τὸν πόρον τῆς διαβάσιος, ἐν πέντε καὶ τεσσεράκοντα ἡμέρῃσι, ἀπάγων τῆς στρατιῆς οὐδὲν μέρος, ὡς εἶπαι. ὅκου δὲ πορευόμενοι γινοίατο, καὶ κατ᾽ οὕστινας ἀνθρώπους, τὸν τουτέων καρπὸν ἁρπάζοντες ἐσιτέοντο. εἰ δὲ καρπὸν μηδένα εὕροιεν, οἱ δὲ τὴν ποίην τὴν ἐκ τῆς γῆς ἀναφυομένην, καὶ τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες, καὶ τὰ φύλλα καταδρέποντες κατήσθιον, ὁμοίως τῶν τε ἡμέρων καὶ τῶν ἀγρίων, καὶ ἔλιπον οὐδέν· ταῦτα δ᾽ ἐποίευν ὑπὸ λιμοῦ. ἐπιλαβὼν δὲ λοιμός τε τὸν στρατὸν καὶ δυσεντερίη κατ᾽ ὁδὸν διέφθειρε. τοὺς δὲ καὶ νοσέοντας αὐτέων κατέλιπε, ἐπιτάσσων τῇσι πόλισι, ἵνα ἑκάστοτε γίνοιτο ἐλαύνων, μελεδαίνειν τε καὶ τρέφειν· ἐν Θεσσαλίῃ τέ τινας,

---

traque quinque et quadraginta dies ad trajectus locum pervenit, nullam, ut ita dicam, partem copiarum ducens: quocunque autem veniebant, et ad quoscunque homines, eorum direptis fructibus vescebantur: ubi autem nihil fructuum reperiebant, ipsa herba ut e solo germinabat, et arborum delibratis corticibus, et strictis frondibus utebantur tam agrestium quam mansuetarum, nihil omnino relinquentes: hoc autem præ fame facere cogebantur. Quos deinde pestilentia excipiens ac dysenteria, vel alvi tormina, inter viam extinguebat. Eorum etiam nonnullos Xerxes ægrotos reliquit, injungens civitatibus, ut in quamque veniebat, uti illos curarent et pascerent: quosdam etiam in Thessalia, et aliquot in Siri

καὶ ἐν Σίρι τῆς Παιονίης, καὶ ἐν Μακεδονίῃ. ἔνθα καὶ τὸ ἱρὸν ἅρμα καταλιπὼν τοῦ Διὸς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε ἀπιὼν, οὐκ ἀπέλαβε· ἀλλὰ δόντες οἱ Παίονες τοῖσι Θρήϊξι, ἀπαιτέοντος Ξέρξεω, ἔφασαν νεμομένας ἁρπαχθῆναι ὑπὸ τῶν ἄνω Θρηΐκων τῶν περὶ τὰς πηγὰς τοῦ Στρυμόνος οἰκημένων.

ρις΄. Ἔνθα καὶ ὁ τῶν Βισαλτέων βασιλεὺς γῆς τε τῆς Κρηστωνικῆς, Θρήϊξ, ἔργον ὑπερφυὲς ἐργάσατο· ὃς οὔτε αὐτὸς ἔφη τῷ Ξέρξῃ ἑκὼν εἶναι δουλεύσειν, ἀλλ' οἴχετο ἄνω ἐς τὸ οὖρος τὴν Ῥοδόπην, τοῖσί τε παισὶ ἀπηγόρευε μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. οἱ δὲ, ἀλογήσαντες, ἢ ἄλλως σφι θυμὸς ἐγένετο θεήσασθαι τὸν πόλεμον, ἐστρατεύοντο ἅμα τῷ Πέρσῃ. ἐπεὶ δὲ ἀνεχώρησαν ἀσινέες

Pæoniæ, et in Macedonia: ubi sacrum Jovis currum, quem in Græciam tendens reliquerat, reversus non offendit. Eum Pæones Thracibus quum dedissent, tamen reposcenti Xerxi dixere, equas pascentes fuisse abactas a Thracibus superioribus, qui Strymonis circa fontes incolerent.

116. Quo in loco rex Bisaltarum ac terræ Crestonicæ, Thrax, facinus super naturam fecit: hic et se volentem negavit Xerxi serviturum, eoque in superiora ad montem Rhodopen abiit: et filiis interdixit adversus Græciam militare. Illi patre contemptui habito, sive alioqui belli libidine inspiciundi, militavere cum Persa: quibus, postquam incolumes re-

πάντες, ἓξ ἐόντες, ἐξώρυξε αὐτέων ὁ πατὴρ τοὺς ὀφθαλμοὺς, διὰ τὴν αἰτίην ταύτην. καὶ οὗτοι μὲν τοῦτον τὸν μισθὸν ἔλαβον.

ριζ΄. Οἱ δὲ Πέρσαι ὡς ἐκ τῆς Θρηΐκης πορευόμενοι ἀπίκοντο ἐπὶ τὸν πόρον, ἐπειγόμενοι τὸν Ἑλλήσποντον τῇσι νηυσὶ διέβησαν ἐς Ἄβυδον. τὰς γὰρ σχεδίας οὐκ εὗρον ἔτι ἐντεταμένας, ἀλλ' ὑπὸ χειμῶνος διαλελυμένας. ἐνθαῦτα δὴ κατεχόμενοι, σιτία τε πλέω ἢ κατ' ὁδὸν ἐλάγχανον, οὐδένα τε κόσμον ἐμπιπλάμενοι, καὶ ὕδατα μεταβάλλοντες, ἀπέθνησκον τοῦ στρατοῦ τοῦ περιεόντος πολλοί. οἱ δὲ λοιποὶ ἅμα Ξέρξῃ ἀπικνέονται ἐς Σάρδις.

ριη΄. Ἔστι δὲ καὶ ἄλλος ὅδε λεγόμενος λόγος, ὡς, ἐπειδὴ Ξέρξης ἀπελαύνων ἐξ Ἀθηνέων, ἀπίκετο ἐπ' Ἠϊόνα τὴν ἐπὶ Στρυ-

---

verterunt omnes, erant autem sex, ob eam culpam oculos pater effodit. Et isti quidem hanc mercedem acceperunt.

117. Persæ autem, ubi ex Thracia ad trajectum pervenere, urgentes Hellespontum navibus trajecere ad Abydum: non enim intentas adhuc rates invenere, sed tempestate dissolutas. Ibi copiosiorem quam in itinere commeatum adepti, nullo cum modo sese reficientes, ac mutatis aquis, permulti interibant de exercitu, qui supererat: ceteri cum Xerxe Sardes pervenere.

118. Narratur autem et alia hæc res, Xerxem, posteaquam Athenis profectus venit ad Eionem urbem, Strymoni appositam, illinc non amplius per vi-

μόνι, ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι διεχρέετο, ἀλλὰ τὴν μὲν στρατιὴν Ὑδάρνεϊ ἐπιτρέπει ἀπάγειν ἐς τὸν Ἑλλήσποντον, αὐτὸς δ' ἐπὶ νηὸς Φοινίσσης ἐπιβὰς, ἐκομίζετο ἐς τὴν Ἀσίην. πλώοντα δέ μιν ἄνεμον Στρυμονίην ὑπολαβεῖν μέγαν καὶ κυματίην· καὶ δὴ, μᾶλλον γάρ τι χειμαίνεσθαι γεμούσης τῆς νηὸς, ὥστε ἐπὶ τοῦ καταστρώματος ἐπεόντων συχνῶν Περσέων τῶν σὺν Ξέρξῃ κομιζομένων, ἐνθαῦτα ἐς δεῖμα πεσόντα τὸν βασιλῆα, εἴρεσθαι βώσαντα τὸν κυβερνήτεα, εἴ τις ἐστί σφι σωτηρίη. καὶ τὸν εἶπαι, “ Δέσποτα, “ οὐκ ἔστιν οὐδεμίη, εἰ μὴ τουτέων ἀπαλ- “ λαγή τις γένηται τῶν πολλῶν ἐπιβατέων.” καὶ Ξέρξεα λέγεται ἀκούσαντα ταῦτα εἶπαι, “ Ἄνδρες Πέρσαι, νῦν τις διαδεξάτω

---

am inter fecisse: sed exercitu Hydarni permisso, quem ad Hellespontum deduceret, ipsum navem Phœnissam conscendisse, ut in Asiam se reciperet: et dum cursum tenet, a Strymonia ingenti vento et fluctuoso fuisse exceptum; et eo vehementius tempestate vexatum, quod navis referta vectoribus erat, utpote quum super contabulata essent frequentes Persæ qui cum Xerxe vehebantur. Ibi metu perculsum regem cum clamore interrogasse gubernatorem, num qua salus eis esset. Et quum ille respondisset, Here, nulla admodum est, nisi horum multorum propugnatorum aliqua fiat abitio: tunc Xerxem eo audito ita loquutum, Viri Persæ, nunc

"ὑμέων βασιλῆος κηδόμενος· ἐν ὑμῖν γὰρ "οἶκε ἐμοὶ εἶναι ἡ σωτηρίη." τὸν μὲν ταῦτα λέγειν· τοὺς δὲ, προσκυνέοντας, ἐκπηδέειν ἐς τὴν θάλασσαν· καὶ τὴν νῆα ἐπικουφισθεῖσαν, οὕτω δὴ ἀποσωθῆναι ἐς τὴν Ἀσίην. ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν Ξέρξεα, ποιῆσαι τοιόνδε· ὅτι μὲν ἔσωσε βασιλῆος τὴν ψυχὴν, δωρήσασθαι χρυσέῃ στεφάνῃ τὸν κυβερνήτεα· ὅτι δὲ Περσέων πολλοὺς ἀπώλεσε, ἀποταμεῖν τὴν κεφαλὴν αὐτοῦ.

ριθ΄. Οὗτος δὲ ἄλλος λέγεται λόγος περὶ τοῦ Ξέρξεω νόστου, οὐδαμῶς ἔμοιγε πιστὸς, οὔτε ἄλλως, οὔτε τὸ Περσέων τοῦτο πάθος. εἰ γὰρ δὴ ταῦτα οὕτω ἐῤῥήθη ἐκ τοῦ κυβερνήτεω πρὸς Ξέρξεα, ἐν μυρίῃσι γνώμῃσι μίην οὐκ ἔχω ἀντίξοον, μὴ οὐκ ἂν ποιῆσαι βασι-

---

aliquis vestrum declaret se curam habere regis: in vobis enim videtur sita esse salus mea. Hæc ubi dixit Xerxes, illos eo adorato exsiluisse in mare: atque ita levata navi, Xerxem incolumem in Asiam pervenisse. Et ubi primum in terram egressus est, hoc egisse: gubernatorem, quod regis quidem animam servasset, aurea corona donasse; quod autem multos Persarum perdidisset, decollasse.

119. Hic autem alter modus qui narratur reversionis Xerxis, haudquaquam fidem apud me habet cum propter alia, tum propter istum casum Persarum, nam si ista regi a gubernatore sic dicta sunt, in infinitis sententiis unam non habeo repu-

λῆα τοιόνδε· τοὺς μὲν ἐκ τοῦ καταστρώματος καταβιβάσαι ἐς κοίλην νῆα, ἐόντας Πέρσας, καὶ Περσέων τοὺς πρώτους· τῶν δ' ἐρετέων, ἐόντων Φοινίκων, ὅκως οὐκ ἂν ἶσον πλῆθος τοῖσι Πέρσῃσι ἐξέβαλε ἐς τὴν θάλασσαν. ἀλλ' ὁ μὲν, ὡς καὶ πρότερόν μοι εἴρηται, ὁδῷ χρεόμενος ἅμα τῷ ἄλλῳ στρατῷ, ἀπενόστησε ἐς τὴν Ἀσίην.

ρκ΄. Μέγα δὲ καὶ τόδε μαρτύριον· φαίνεται γὰρ Ξέρξης ἐν τῇ ὀπίσω κομιδῇ ἀπικόμενος ἐς Ἄβδηρα, καὶ ξεινίην τέ σφι συνθέμενος, καὶ δωρησάμενος αὐτοὺς ἀκινάκῃ τε χρυσέῳ καὶ τιήρῃ χρυσοπάστῳ, καὶ, ὡς αὐτοὶ λέγουσι Ἀβδηρῖται, λέγοντες ἐμοίγε οὐδαμῶς πιστὰ, πρῶτον ἐλύσατο τὴν ζώνην φεύγων ἐξ Ἀθηνέων ὀπίσω, ὡς ἐν ἀδείῃ ἐών.

---

gnantem, regem non fecisse istud: illos quidem Persas in tabulato jussurum in cavam navem demitti, utpote qui et Persæ et primores Persarum essent, at remigum, qui erant Phœnices, multitudinem Persis numero parem in mare ejecturum. Sed is, ut dictum est superius, itinere pedestri cum reliquo exercitu in Asiam reversus est.

120. Cujus rei id quoque magno est testimonio, quod apparet, Xerxem, quum rursus in Asiam reciperet se, Abdera pervenisse, et hospitii fœdus cum illis pactum esse, et acinace aureo eos ac tiara auro intertexta donasse: et ut ipsi oppidani aiunt, quod apud me fide caret, Xerxes, postquam ex Athenis retro fugit, illic primum zonam solvit, utpote jam

πρὸς τοῦ Ἑλλησπόντου δὲ μᾶλλον τὰ Ἄβδηρα ἵδρυται, ἢ τοῦ Στρυμόνος, καὶ τῆς Ἠϊόνος, ὅθεν δή μιν φασὶ ἐπιβῆναι ἐπὶ τὴν νῆα.

ρκα΄. Οἱ δὲ Ἕλληνες, ἐπεί τε οὐκ οἷοί τε ἐγένοντο ἐξελέειν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον, καὶ δηϊώσαντες αὐτέων τὴν χώρην ἀπαλλάσσοντο ἐς Σαλαμῖνα. πρῶτα μέν νυν τοῖσι θεοῖσι ἐξεῖλον ἀκροθίνια ἄλλα τε καὶ τριήρεας τρεῖς Φοινίσσας· τὴν μὲν, ἐς Ἰσθμὸν ἀναθεῖναι, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν· τὴν δὲ, ἐπὶ Σούνιον· τὴν δὲ, τῷ Αἴαντι αὐτοῦ ἐς Σαλαμῖνα. μετὰ δὲ τοῦτο, διεδάσαντο τὴν ληΐην, καὶ τὰ ἀκροθίνια ἀπέπεμψαν ἐς Δελφούς· ἐκ τῶν ἐγένετο ἀνδριὰς ἔχων ἐν τῇ χειρὶ ἀκρωτήριον νηὸς, ἐὼν μέγαθος δυωκαίδεκα

---

terrore liber. Sunt autem Abdera propius ad Hellespontum sita quam Strymon, atque Eïon, unde navem illum conscendisse ferunt.

121. Ceterum Græci posteaquam Andrum expugnare nequibant, conversi in Carystum, vastato illorum agro rediere Salaminem. Ibi ante omnia diis primitias exemerunt cum alias, tum Phœnissas triremes tres: quarum una reponeretur apud Isthmum, quæ ad meam usque memoriam exstabat; altera apud Sunium, tertia Ajaci illic apud Salaminem. Post hoc prædam dispartivere, et primitias Delphos misere. Ex quibus statua effecta est longitudine cubitorum duodecim, aplustre manu sustinens; eodem

πηχέων· ἑστήκεε δὲ οὗτος τῇπερ ὁ Μακεδὼν Ἀλέξανδρος ὁ χρύσεος.

ρκβ´. Πέμψαντες δὲ ἀκροθίνια οἱ Ἕλληνες ἐς Δελφοὺς, ἐπειρώτεον τὸν θεὸν κοινῇ, εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ ἀκροθίνια. ὁ δὲ παρ᾽ Ἑλλήνων μὲν τῶν ἄλλων ἔφησε ἔχειν, παρ᾽ Αἰγινητέων δὲ, οὔ· ἀλλὰ ἀπαίτεε αὐτοὺς τὰ ἀριστήϊα τῆς ἐν Σαλαμῖνι ναυμαχίης. Αἰγινῆται δὲ πυθόμενοι, ἀνέθεσαν ἀστέρας χρυσέους, οἳ ἐπὶ ἱστοῦ χαλκέου ἑστᾶσι τρεῖς ἐπὶ τῆς γωνίης, ἀγχοτάτω τοῦ Κροίσεω κρητῆρος.

ρκγ´. Μετὰ δὲ τὴν διαίρεσιν τῆς ληΐης ἔπλωον οἱ Ἕλληνες ἐς τὸν Ἰσθμὸν, ἀριστήϊα δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ Ἑλλήνων ἀνὰ τὸν πόλεμον τοῦτον. ὡς δὲ ἀπικόμενοι οἱ

---

in loco stans, ubi Alexander Macedo aureus.

122. Missis Delphos primitiis, Græci publice deum percontati sunt, nunquid perfectas et gratas primitias accepisset. Quibus ille respondit habere se a Græcis quidem aliis, verum non ab Æginetis: sed reposcebat eos donum optime navatæ ad Salaminem operæ in pugna navali. Id quum audissent Æginetæ, aureas stellas tres dedicaverunt, quæ super malum navis æreum stant apud angulum, proxime Crœsi craterem.

123. Post dispartitam prædam Græci ad Isthmum navigaverunt, daturi virtutis præmium Græcorum meritissimo in hoc bello. Eo ubi perventum est, duces Græci in aram Neptuni suam quisque sententiam scriptam detulere, quem-

στρατηγοὶ διενέμοντο τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον κρίνοντες ἐκ πάντων· ἐνθαῦτα πᾶς τις αὐτέων ἑωϋτῷ ἐτίθετο τὴν ψῆφον, αὐτὸς ἕκαστος δοκέων ἄριστος γενέσθαι. δεύτερα δὲ, οἱ πολλοὶ συνεξέπιπτον Θεμιστοκλῆα κρίνοντες· οἱ μὲν δὴ ἐμουνοῦντο· Θεμιστοκλέης δὲ δευτερείοισι ὑπερεβάλλετο πολλόν.

ρκδ΄. Οὐ βουλομένων δὲ ταῦτα κρίνειν τῶν Ἑλλήνων φθόνῳ, ἀλλ' ἀποπλωόντων ἑκάστων ἐς τὴν ἑωϋτῶν ἀκρίτων, ὅμως Θεμιστοκλέης ἐβώσθη τε καὶ ἐδοξώθη εἶναι ἀνὴρ πολλὸν Ἑλλήνων σοφώτατος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. ὅτι δὲ νικῶν οὐκ ἐτιμήθη πρὸς τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, αὐτίκα μετὰ ταῦτα ἐς Λακεδαίμονα ἀπίκετο, θέλον τιμηθῆναι·

---

nam ex omnibus primum et quem secundum judicarent. In ea autem suum quisque nomen inscripsit, se illum qui præstantissimus extitisset existimans: sed in secundis partibus Themistocli adjudicandis plerique congruerunt. Ita quum singuli in primo loco singulos calculos haberent, in secundo Themistocles multo superior extitit.

124. Et licet hanc rem Græci livore supersederint judicare, in suam quisque patriam re non decreta revecti, tamen Themistocles et habitus est et celebratus per universam Græciam omnium Græcorum longe prudentissimus. Ipse tamen quia victor non fuisset honore affectus ab iis, qui ad Salaminem dimicassent, ut honore afficeretur Lacedæmonem se contulit.

καί μιν Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. ἀριστήϊα μέν νυν ἔδοσαν Εὐρυβιάδῃ ἐλαίης στέφανον· σοφίης δὲ καὶ δεξιότητος, Θεμιστοκλέϊ, καὶ τούτῳ στέφανον ἐλαίης. ἐδωρήσαντο δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ καλλιστεύσαντι. αἰνέσαντες δὲ πολλὰ, προέπεμψαν ἀπιόντα τριηκόσιοι Σπαρτιητέων λογάδες, οὗτοι οἵπερ ἱππέες καλέονται, μέχρι οὔρων τῶν Τεγεητικῶν. μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν, Σπαρτιῆται προέπεμψαν.

ρκέ. Ὡς δὲ ἐκ τῆς Λακεδαίμονος ἀπίκετο ἐς τὰς Ἀθήνας, ἐνθαῦτα Τιμόδημος Ἀφιδναῖος, τῶν ἐχθρῶν μὲν τῶν Θεμιστοκλέος ἐὼν, ἄλλως δὲ οὐ τῶν ἐπιφανέων ἀνδρῶν, φθόνῳ καταμαργέων, ἐνείκεε τὸν Θεμιστο-

---

Eum Lacedæmonii et splendide exceperunt, et magnifice honoraverunt: et primas quidem partes rei bene gestæ, Eurydiadæ; solertiæ vero ac dexteritatis, Themistocli dederunt, utrumque oleagina corona donantes: præterea hunc vehiculo, quod Spartæ erat præstantissimum: laudatumque verbis amplissimis, trecenti ex delectis Spartiatarum, qui equites vocantur, recedentem ad Tegeaticos usque fines comitati sunt. Hunc solum ex omnibus quos novimus hominibus Spartiatæ abeuntem deduxerunt.

125. Eidem, postquam ex Lacedæmone Athenas venit, ibi Timodemus Aphidnæus unus ex inimicis ejus, alioqui non e claris viris, livore insaniens, crimini dabat itionem in Spartam: dicens illum Athenarum

κλῆα, τὴν ἐς Λακεδαίμονα ἄπιξιν προφέρων, ὡς διὰ τὰς Ἀθήνας ἔχοι τὰ γέρεα τὰ παρὰ Λακεδαιμονίων, ἀλλ' οὐ δι' ἑωϋτόν. ὁ δὲ, ἐπεί τε οὐκ ἐπαύετο ταῦτα λέγων ὁ Τιμόδημος, εἶπε, "Οὕτω ἔχει τοι· οὔτ' ἂν ἐγὼ ἐὼν Βελ-"βινίτης ἐτιμήθην οὕτω πρὸς Σπαρτιητέων, "οὔτ' ἂν σὺ ὤνθρωπε, ἐὼν Ἀθηναῖος·" ταῦτα μέν νυν ἐς τοσοῦτο ἐγένετο·

ρκϛ'. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος, ἀνὴρ ἐν Πέρσῃσι λόγιμος καὶ πρόσθεν ἐὼν, ἐκ δὲ τῶν Πλαταιϊκῶν καὶ μᾶλλον ἔτι γενόμενος, ἔχων ἓξ μυριάδας στρατοῦ, τὸν Μαρδόνιος ἐξελέξατο, προέπεμπε βασιλῆα μέχρι τοῦ πόρου. ὡς δὲ, ὁ μὲν ἦν ἐν τῇ Ἀσίῃ, ὁ δὲ, ὀπίσω πορευόμενος, κατὰ τὴν Παλλήνην ἐγένετο, ἅτε Μαρδονίου τε χειμερίζοντος περὶ

---

respectu, non sui, ab Lacedæmoniis honores assequutum. Et quum non faceret finem talia dicendi, inquit ei Themistocles, O homo, ita res habet, neque ego si Belbinitanus forem, sic a Spartanis honoratus fuissem: neque tu, etsi Atheniensis. Atque hæc hactenus.

126. Artabazus autem Pharnacis filius, vir inter Persas cum antea illustris, tum ex rebus Platæensibus factus illustrior, regem deducebat sexaginta millibus ex exercitu, quem sibi Mardonius delegerat: quem ubi trajectu tenus comitatus est, quum jam ille in Asia esset, regressus circa Pallenen agebat, utpote Mardonio per Thessaliam Macedoniamque hybernante, nec etiamdum ur-

Θεσσαλίην τε καὶ Μακεδονίην, καὶ οὐδέν κω κατεπείγοντος ἥκειν ἐς τὸ ἄλλο στρατόπεδον, οὐκ ἐδικαίου ἐντυχὼν ἀπεστεῶσι Ποτιδαιήτῃσι μὴ οὐκ ἐξανδραποδίσασθαί σφεας. οἱ γὰρ Ποτιδαιῆται, ὡς βασιλεὺς παρεξεληλάκεε, καὶ ὁ ναυτικὸς τοῖσι Πέρσῃσι οἰχώκεε φεύγων ἐκ τῆς Σαλαμῖνος, ἐκ τοῦ φανεροῦ ἀπέστασαν ἀπὸ τῶν βαρβάρων· ὣς δὲ καὶ ὧλλοι οἱ τὴν Παλλήνην ἔχοντες.

ρκζ΄. Ἐνθαῦτα δὴ Ἀρτάβαζος ἐπολιόρκεε τὴν Ποτιδαίην. Ὑποπτεύσας δὲ καὶ τοὺς Ὀλυνθίους ἀπίστασθαι ἀπὸ βασιλῆος, καὶ ταύτην ἐπολιόρκεε. εἶχον δὲ αὐτὴν Βοττιαῖοι, οἱ ἐκ τοῦ Θερμαίου κόλπου ἐξαναστάντες ὑπὸ Μακεδόνων. ἐπεὶ δέ σφεας εἷλε πολιορκέων, κατέσφαξε ἐξαγαγὼν ἐς λίμνην· τὴν

---

gente venire in alia castra, non existimabat jus esse non diripere rebelles Potidæatas, in quos casu incidisset. Etenim Potidæata, postquam rex præteriit, et classis Persica a Salamine fugiens abiit, manifeste a barbaris defecerant: mox aliis quoque qui Pallenen incolebant rebellantibus.

127. Tunc vero Artabazus Potidæam obsedit: sed suspicatus etiam Olynthios ab rege deficere, et ipsam obsedit. Eam autem tenebant Bottiæi, qui e sinu Thermæo fuerant a Macedonibus ejecti. Hos Artabazus postquam obsidione cepit, in paludem deductos trucidavit, urbemque administrandum

δὲ πόλιν παραδιδοῖ Κριτοβούλῳ Τορωναίῳ ἐπιτροπεύειν, καὶ τῷ Χαλκιδικῷ γένεϊ. καὶ οὕτω Ὄλυνθον Χαλκιδέες ἔσχον.

ρκη΄. Ἐξελὼν δὲ ταύτην ὁ Ἀρτάβαζος, τῇ Ποτιδαίῃ ἐντεταμένως προσεῖχε. προσέχοντι δέ οἱ προθύμως συντίθεται προδοσίην Τιμόξεινος ὁ τῶν Σκιωναίων στρατηγός. ὅντινα μὲν τρόπον ἀρχὴν ἔγωγε οὐκ ἔχω εἶπαι, οὐ γὰρ ὦν λέγεται· τέλος μέντοι, τοιάδε ἐγίνετο. ὅκως βυβλίον γράψειε ἢ Τιμόξεινος ἐθέλων παρὰ Ἀρτάβαζον πέμψαι, ἢ Ἀρτάβαζος παρὰ Τιμόξεινον, τοξεύματος παρὰ τὰς γλυφίδας περιειλίξαντες, καὶ πτερώσαντες τὸ βυβλίον, ἐτόξευον ἐς συγκείμενον χωρίον. ἐπάϊστος δὲ ἐγένετο ὁ Τιμόξεινος προδιδοὺς τὴν Ποτίδαιαν. τοξεύων γὰρ ὁ Ἀρτάβα-

Critobulo Toronæo tradidit, et generi Chalcidico. Ita Chalcidenses Olynthum obtinuere.

128. Expugnata Olyntho Artabazus Potidææ impensius incumbebat. Hoc faciens, cum Timoxeno Scionæorum magistratu de facienda proditione transigit, incertum mihi quonam modo ab initio; neque enim traditur: ad extremum ita evenit: Quoties exaraverat libellum aut Timoxenus ad Artabazum mittere volens, aut Artabazus ad Timoxenum, eum sagittæ circumvolvebant prope crenas, et aptatum quasi alas, ad locum de quo convenerat sagittam emittebat. Sed Timoxenus qui Potidæam prodebat, proditionis compertus est: nam Artabazus ad compactum

ζος ἐς τὸ συγκείμενον, ἁμαρτὼν τοῦ χωρίου τούτου, βάλλει ἀνδρὸς Ποτιδαιήτεω τὸν ὦμον· τὸν δὲ, βληθέντα περιέδραμε ὅμιλος, οἷα φιλέει γίνεσθαι ἐν πολέμῳ, οἳ αὐτίκα τὸ τόξευμα λαβόντες, ὡς ἔμαθον τὸ βυβλίον, ἔφερον ἐπὶ τοὺς στρατηγούς· παρῆν δὲ καὶ τῶν ἄλλων Παλληναίων συμμαχίη. τοῖσι δὲ στρατηγοῖσι ἐπιλεξαμένοισι τὸ βυβλίον, καὶ μαθοῦσι τὸν αἴτιον τῆς προδοσίης, ἔδοξε μὴ καταπλῆξαι Τιμόξεινον προδοσίῃ, τῆς Σκιωναίων πόλιος εἵνεκα, μὴ νομιζοίατο εἶναι Σκιωναῖοι ἐς τὸν μετέπειτα χρόνον αἰεὶ προδόται. ὁ μὲν δὴ τοιούτῳ τρόπῳ ἐπάϊστος ἐγένετο.

ρκθ΄. Ἀρταβάζῳ δὲ, ἐπειδὴ πολιορκέοντι ἐγεγόνεσαν τρεῖς μῆνες, γίνεται ἄμπωτις τῆς θαλάσσης μεγάλη, καὶ χρόνον ἐπὶ πολλόν.

---

locum sagittam dirigens, frustrante jactu humerum cujusdam Potidæatæ percussit. Quem saucium turba quum circumcurrisset, ut adsolet in bello fieri, hi subito sagittam, quum animadverterent libellum, nacti detulerunt ad magistratus: aderat autem et ceterorum Pallenensium commilitium. Perlecto libello magistratus et cognito proditionis autore, non tamen censuerunt Timoxenum esse proditionis supplicio plectendum, Scionææ civitatis gratia, ne in posterum semper Scionæi pro proditoribus haberentur. Atque hunc quidem in modum Timoxenus proditionis manifestus fuit.

129. Artabazum vero tres jam menses obsidentem ingens recessus maris excepit, et is diutius: unde barbari videntes

ἰδόντες δὲ οἱ βάρβαροι τέναγος γενόμενον, παρίεσαν ἐς τὴν Παλλήνην. ὡς δὲ τὰς δύο μὲν μοίρας διωδοιπορήκεσαν, ἔτι δὲ τρεῖς ὑπόλοιποι ἔσαν, τὰς διελθόντας χρῆν ἔσω εἶναι ἐν τῇ Παλλήνῃ, ἐπῆλθε πλημμυρὶς τῆς θαλάσσης μεγάλη, ὅση οὐδαμά κω, ὡς οἱ ἐπιχώριοι λέγουσι, πολλάκις γενομένη. οἱ μὲν δὴ νέειν αὐτέων οὐκ ἐπιστάμενοι διεφθείροντο, τοὺς δὲ ἐπισταμένους Ποτιδαιῆται ἐπιπλώσαντες πλοίοισι ἀπώλεσαν. αἴτιον δὲ λέγουσι Ποτιδαιῆται τῆς τε ῥηχίης καὶ τῆς πλημμυρίδος καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε, ὅτι τοῦ Ποσειδέωνος ἐς τὸν νηὸν καὶ τὸ ἄγαλμα τὸ ἐν τῷ προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων τοίπερ καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης. αἴτιον δὲ τοῦτο λέγοντες,

---

locum factum lacunosum, in Pallenen concesserunt: cujus itineris quum duas partes permeassent, tres aliæ supererant, quas ubi pertransisissent, oportebat intrare Pallenen: sed eas ibi tanta maris æstuatio invasit, quanta nunquam extiterat, ut indigenæ aiunt, quum ea frequenter illic acciderit. Eorum qui nandi erant ignari, interiere: qui erant gnari, eos Potidæatæ navigiis adorti trucidavere. Hujus autem æstus ac restagnationis et cladis Persarum ferunt Potidæatæ hinc causam extitisse, quod isti e Persis qui sunt a mari oppressi, in templum Neptuni et ejus simulacrum quod situm est in suburbano, impie se gesserant. Hanc fuisse causam illi viden-

εὖ λέγειν ἔμοιγε δοκέουσι. τοὺς δὲ περιγενομένους ἀπῆγε Ἀρτάβαζος ἐς Θεσσαλίην παρὰ Μαρδόνιον. οὗτοι μὲν οἱ προπέμψαντες βασιλῆα, οὕτω ἔπρηξαν.

ρλ΄. Ὁ δὲ ναυτικὸς ὁ Ξέρξεω περιγενόμενος, ὡς προσέμιξε τῇ Ἀσίῃ, φεύγων ἐκ Σαλαμῖνος, καὶ βασιλῆά τε καὶ τὴν στρατιὴν ἐκ Χερσονήσου διεπόρθμευσε ἐς Ἄβυδον, ἐχειμέρισε ἐν Κύμῃ. ἔαρος δὲ ἐπιλάμψαντος, πρώϊος συνελέγετο ἐς Σάμον· αἱ δὲ τῶν νηῶν καὶ ἐχειμέρισαν αὐτοῦ· Περσέων δὲ καὶ Μήδων οἱ πλεῦνες ἐπεβάτευον. στρατηγοὶ δέ σφι ἐπῆλθον, Μαρδόντης τε ὁ Βαγαίου καὶ Ἀρταΰντης ὁ Ἀρταχαίου· συνῆρχε δὲ τοῖσι καὶ ἀδελφιδεὸς αὐτοῦ Ἀρταΰντεω προσελομένου ὁ Ἀμίτρης. ἅτε δὲ μεγάλως πληγέντες, οὐ

tur mihi vere dicere. Eos autem qui superavere, Artabazus in Thessaliam ad Mardonium duxit. Et cum iis qui regem reduxerunt ita est actum.

130. Navalis autem Xerxis exercitus qui superfuerat, ubi a Salamine fugiens attigit Asiam, rege et copiis e Chersoneso Abydum traducto, hyemavit apud Cumam. Idem primo statim vere Samum convenit, ubi nonnullæ etiam naves hyemaverant. Ejus classis plerique propugnatores erant ex Persis et Medis, ducesque iis accesserant, Mardontes Bugæi, et Artayntes Artachæi filius, cujus patruelis Amitres ab eodem ascitus erat istorum collega. Hi utpote magnopere percussi, non altius processerant occasum

προήϊσαν ἀνωτέρω τὸ πρὸς ἑσπέρης, οὐδ' ἐπηνάγκαζε οὐδείς· ἀλλ' ἐν τῇ Σάμῳ κατήμενοι, ἐφύλασσον τὴν Ἰωνίην μὴ ἀποστῇ, νῆας ἔχοντες σὺν τῇσι Ἰάσι τριηκοσίας. οὐ μὲν οὐδὲ προσεδέκοντο τοὺς Ἕλληνας ἐλεύσεσθαι ἐς τὴν Ἰωνίην, ἀλλ' ἀποχρήσειν σφι τὴν ἑωϋτῶν φυλάσσειν· σταθμεύμενοι ὅτι σφέας οὐκ ἐπεδίωξαν φεύγοντας ἐκ Σαλαμῖνος, ἀλλ' ἄσμενοι ἀπαλλάσσοντο. κατὰ μέν νυν τὴν θάλασσαν ἑσσωμένοι ἔσαν τῷ θυμῷ, πεζῇ δὲ ἐδόκεον πολλὸν κρατήσειν τὸν Μαρδόνιον. ἐόντες δὲ ἐν Σάμῳ, ἅμα μὲν ἐβουλεύοντο εἴ τε δυναίατο κακὸν τοὺς πολεμίους ποιέειν, ἅμα δὲ καὶ ὠτακούστεον ὄκῃ πεσέεται τὰ Μαρδονίου πρήγματα.

ρλα'. Τοὺς δὲ Ἕλληνας τό, τε ἔαρ γενό-

---

versus, neque ullus ad hanc necessitatem eos adegit; sed Samo desidentes Ioniam custodiebant ne deficeret, trecentas naves cum Ioniis habentes. Neque expectabant Græcos in Ioniam ituros, sed illis satis fore, si sua tutarentur; ducta ex hoc conjectura, quod ipsos e Salamine fugientes non fuissent insequuti, sed libenter abscessissent. Ac mari quidem victi erant animo; at longe superiorem terra Mardonium futurum arbitrabantur. Qui dum Sami erant, simul consultabant, si quid mali possent facere hostibus, simul etiam subauscultabant, quonam res Mardonii caderent.

131. At Græcos excitabat tum veris adventus, tum Mar-

μενον ἤγειρε, καὶ Μαρδόνιος ἐν Θεσσαλίῃ ἐών. ὁ μὲν δὴ πεζὸς οὔκω συνελέγετο· ὁ δὲ ναυτικὸς ἀπίκετο ἐς Αἴγιναν, νῆες ἀριθμὸν δέκα καὶ ἑκατόν. στρατηγὸς δὲ καὶ ναύαρχος ἦν Λευτυχίδης ὁ Μενάρεος, τοῦ Ἡγησίλεω, τοῦ Ἱπποκρατίδεω, τοῦ Λευτυχίδεω, τοῦ Ἀναξίλεω, τοῦ Ἀρχιδήμου, τοῦ Ἀναξανδρίδεω, τοῦ Θεοπόμπου, τοῦ Νικάνδρου, τοῦ Χαρίλλου, τοῦ Εὐνόμου, τοῦ Πολυδέκτεος, τοῦ Πρυτάνιος, τοῦ Εὐρυφῶντος, τοῦ Προκλέος, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος· ἐὼν τῆς ἑτέρης οἰκίης τῶν βασιλήων. οὗτοι πάντες, πλὴν τῶν δυῶν τῶν μετὰ Λευτυχίδεα πρώτων καταλεχθέντων, οἱ ἄλλοι, βασιλῆες ἐγένοντο Σπάρτης.

---

donius in Thessalia agens, et eorum quidem exercitus pedestris nondum cogebatur: naves autem Æginam abierant numero centum ac decem, præfecto atque navarcho Leutychide, qui fuit Menaris, qui fuit Agesilai, qui fuit Hippocratidæ, qui fuit Leutychidis, qui fuit Anaxilai, qui fuit Archidami, qui fuit Anaxandridæ, qui fuit Theopompi, qui fuit Nicandri, qui fuit Charilli, qui fuit Eunomi, qui fuit Polydectis, qui fuit Prytanis, qui fuit Euryphontis, qui fuit Proclis, qui fuit Aristodemi, qui fuit Aristomachi, qui fuit Cleodæi, qui fuit Hylli, qui fuit Herculis filius, ex altera regum familia. Hi omnes, præter duos qui post Leutychidem primi commemo-

Ἀθηναίων δὲ ἐστρατήγεε Ξάνθιππος ὁ Ἀρίφρονος.

ρλβ΄. Ὡς δὲ παρεγένοντο ἐς τὴν Αἴγιναν πᾶσαι αἱ νῆες, ἀπίκοντο Ἰώνων ἄγγελοι ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων· οἳ καὶ ἐς τὴν Σπάρτην ὀλίγῳ πρότερον τουτέων ἀπικόμενοι, ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην, τῶν καὶ Ἡρόδοτος ὁ Βασιληΐδεω ἦν· οἳ στασιῶταί σφι γενόμενοι, ἐπεβούλευον θάνατον Στράττι τῷ Χίου τυράννῳ, ἐόντες ἀρχὴν ἑπτά· ἐπιβουλεύοντες δὲ ὡς φανεροὶ ἐγένοντο, ἐξενείκαντος τὴν ἐπιχείρησιν ἑνὸς τῶν μετεχόντων, οὕτω δὴ οἱ λοιποὶ ἓξ ἐόντες ὑπεξέσχον ἐκ τῆς Χίου, καὶ ἐς Σπάρτην ἀπίκοντο, καὶ δὴ καὶ τότε ἐς τὴν Αἴγιναν, τῶν Ἑλλήνων δεόμενοι καταπλῶσαι ἐς τὴν Ἰωνίην· οἳ

---

rati sunt, reges Spartæ fuerunt: Atheniensium autem, duce Xanthippo Ariphronis filio.

132. Hac omni classe Æginam profecta, adveniunt in Græcorum castra nuncii Ionum iidem qui paulo ante ierant Spartam ad orandos Lacedæmonios ut Ioniam liberarent, quorum unus fuit Herodotus Basilidæ filius. Hi septem omnino erant, qui conjuratione inter se facta de trucidando Stratte Chii tyranno, postea conspiratione patefacta per unum qui particeps erat, ceteri qui sex erant, e Chio se subduxerunt, Spartamque se contulerunt, et tunc Æginam, oraturi Græcos ut in Ioniam navigarent; ægreque exoratos Delon usque per-

προήγαγον αὐτοὺς μόγις μέχρι Δήλου. τὸ γὰρ προσωτέρω πᾶν δεινὸν ἦν τοῖσι Ἕλλησι, οὔτε τῶν χώρων ἐοῦσι ἐμπείροισι, στρατιῆς τε πάντα πλέα ἐδόκεε εἶναι· τὴν δὲ Σάμον ἠπιστέατο δόξῃ καὶ Ἡρακλέας στήλας ἴσον ἀπέχειν. συνέπιπτε δὲ τοιούτῳ, ὥστε τοὺς μὲν βαρβάρους τὸ πρὸς ἑσπέρης ἀνωτέρω Σάμου μὴ τολμᾷν καταπλῶσαι καταῤῥωδηκότας, τοὺς δὲ Ἕλληνας, χρηΐζόντων Χίων τὸ πρὸς τὴν ἠῶ κατωτέρω Δήλου. οὕτω δέος τὸ μέσον ἐφύλλασσέ σφεων.

ρλγ. Οἱ μὲν δὴ Ἕλληνες ἔπλωον ἐς τὴν Δῆλον· Μαρδόνιος δὲ περὶ τὴν Θεσσαλίην ἐχείμαζε. ἐνθεῦτεν δὲ ὁρμεόμενος, ἔπεμπε κατὰ τὰ χρηστήρια ἄνδρα Εὐρωπέα γένος, τῷ οὔνομα ἦν Μῦς· ἐντειλάμενος πανταχῇ

---

duxere. Nam ulteriora omnia Græcis formidolosa erant, cum locorum ignaris, tum plena omnia hostium esse videbantur, et Samum vero sciebant opinione et Herculis columnas tantundem distare. Contigitque huic rei, ut neque barbari occidentem versus supra Samum navigare auderent, metu perterriti; neque Græci Chiorum rogatu, orientem versus, infra Delon: ita timor medium eorum tuebatur.

133. Dum Græci navigavere Delon, Mardonius qui in hibernis circa Thessaliam erat, inde movens misit ad oracula quendam genere Europensem, cui nomen Mus, jubens ut ubicun-

μιν χρησάμενον ἐλθεῖν, τῶν οἷά τε ἦν σφι ἀποπειρήσασθαι. ὅ, τι μὲν βουλόμενος ἐκμαθέειν πρὸς τῶν χρηστηρίων ταῦτα ἐνετέλλετο, οὐκ ἔχω φράσαι· οὐ γὰρ ὦν λέγεται· δοκέω δ᾽ ἔγωγε περὶ τῶν παρεόντων πρηγμάτων, καὶ οὐκ ἄλλων πέρι πέμψαι.

ρλδ΄. Οὗτος ὁ Μῦς ἔς τε Λεβάδειαν ἀπικόμενος φαίνεται, καὶ μισθῷ πείσας τῶν ἐπιχωρίων ἄνδρα, καταβῆναι παρὰ Τροφώνιον· καὶ ἐς Ἄβας τὰς Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον. καὶ δὴ καὶ ἐς Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν, τῷ Ἰσμηνίῳ Ἀπόλλωνι ἐχρήσατο· ἔστι δὲ, κατάπερ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι· τοῦτο δὲ, ξεῖνόν τινα καὶ οὐ Θηβαῖον χρήμασι πείσας, κατεκοίμισε ἐς Ἀμφιάρεω. Θηβαίων δὲ οὐδε-

---

que consulens vaderet ac pertentans oracula, quæ liceret. Quid tandem volens ab oraculis scire talia mandaverit, haud compertum habeo: non enim memoratur: opinor autem ob nihil aliud mississe quam de rebus præsentibus.

134. Constat hunc Myn in Lebadiam venisse, et mercede corrupto quodam indigenarum ad Trophonium descendisse, et in Abas Phocensium, ad oraculum: quinetiam ad Thebas primum quum adisset, ibi tum Apollinem Ismenium consuluisse, quod illic, quemadmodum in Olympia, fas est cæsis victimis sciscitari oracula: tum ab quodam peregrino et non Thebano, pecunia corrupto, impetravisse ut in Amphiarai iret dor-

νὶ ἔξεστι μαντεύεσθαι αὐτόθι διὰ τόδε. ἐκέλευσέ σφεας ὁ Ἀμφιάρεως διὰ χρηστηρίων ποιεύμενος, ὁκότερα βούλονται ἑλέσθαι τουτέων, ἑωϋτῷ ἢ ἅτε μάντι χρέεσθαι, ἢ ἅτε συμμάχῳ, τοῦ ἑτέρου ἀπεχομένους· οἱ δὲ σύμμαχόν μιν εἵλοντο εἶναι. διὰ τοῦτο μὲν οὐκ ἔξεστι Θηβαίων οὐδενὶ αὐτόθι ἐγκατακοιμηθῆναι.

ρλε΄. Τόδε δὲ θῶϋμά μοι μέγιστον γενέσθαι λέγεται ὑπὸ Θηβαίων. ἐλθεῖν ἄρα τὸν Εὐρωπέα Μῦν, περιστρωφώμενον πάντα τὰ χρηστήρια, καὶ ἐς τοῦ Πτώου Ἀπόλλωνος τὸ τέμενος. τοῦτο δὲ τὸ ἱρὸν, καλέεται μὲν Πτῶον, ἔστι δὲ Θηβαίων, κέεται δὲ ὑπὲρ τῆς Κωπαΐδος λίμνης πρὸς οὔρεϊ, ἀγχοτάτω Ἀκραιφίης πόλιος. ἐς τοῦτο τὸ ἱρὸν ἐπεί τε

---

mitnm. Ideo autem nemini Thebano licet eo in loco oracula captare, quod quum Amphiaraus optionem eis per oracula dedisset, utrum mallent eligere ex his, vate uti se an auxiliatore, alterutro carentes: Thebani sibi auxiliatorem eum maluerunt, ea propter nefas est ulli Thebano illic obdormiscere.

135. Tunc autem maximnm extitisse miraculum a Thebanis mihi narratur: Myn Europensem, pervestigatis omnibus oraculis, isse etiam ad fanum Apollinis Ptoi: vocatur autem id fanum ita; sed est Thebanorum, situm supra 'paludem Copaidem, ad montem, proxime urbem Acræphiam. Ad

παρελθεῖν τὸν καλεόμενον τοῦτον Μῦν, ἕπεσθαι δέ οἱ τῶν ἀστῶν αἱρετοὺς ἄνδρας τρεῖς ἀπὸ τοῦ κοινοῦ, ὡς ἀπογραψομένους τὰ θεσπιεῖν ἔμελλε. καὶ πρόκα τε τὴν πρόμαντιν βαρβάρῳ γλώσσῃ χρᾷν· καὶ τοὺς μὲν ἑπομένους τῶν Θηβαίων ἐν θώϋματι ἔχεσθαι ἀκούοντας βαρβάρου γλώσσης ἀντὶ Ἑλλάδος, οὐδὲ ἔχειν, ὅ, τι χρήσονται τῷ παρεόντι πρήγματι· τὸν δὲ Εὐρωπέα Μῦν ἐξαρπάσαντα παρ' αὐτέων τὴν ἐφέροντο δέλτον, τὰ λεγόμενα ὑπὸ τοῦ προφήτεω γράφειν ἐς αὐτήν. φάναι δὲ Καρίῃ μιν γλώσσῃ χρᾷν. συγγραψάμενον δὲ, οἴχεσθαι ἀπιόντα ἐς Θεσσαλίην.

ρλϛʹ. Μαρδόνιος δὲ ἐπιλεξάμενος ὅ, τι δὴ ἦν λέγοντα τὰ χρηστήρια, μετὰ ταῦτα

---

hoc templum postquam pervenisset is, qui Mus appellaretur, sequutos eum tres urbanos viros publice delectos ad describenda ea, quæ homini responderentur: et statim antistitem barbara lingua usam: et qui eos subsequebantur, stupuisse audientes barbaram linguam pro Græca. Quumque nescirent quid in præsenti negotio agerent, Myn Europensem pugillares ab eis quos ferebant abstulisse, et in illis ea quæ dicerentur a propheta exarasse, eaque, ut dicebant, lingua Carica: et ubi illa scripsisset, digressum in Thessaliam abiisse.

136. Ea Mardonius intelligens quid dicerent, nuntium

